


AEGYPTISCHE URKUNDEN

AUS DEN

KOENIGLICHEN MUSEEN

ZU

BERLIN

HERAUSGEGEBEN VON DER

GENERALVERWALTUNG

GRIECHISCHE URKUNDEN

DRITTER BAND

MIT ZWEI LICHTDRUCK-TAFELN

BERLIN
WEIDMANNSCHE BUCHHANDLUNG
1903

Inhaltsverzeichnis.



P. 6956 № 697

Papyrus. H. 20,5 cm. Br. 9 cm. Faijûm. Schrift: 1 H: flüchtige Cursive. 2 H: ungeübte dicke Cursive. Wilcken, Chrest. 321

Ἔτους ἐνάτου Αὐτοκράτορος
Καίσαρος Τίτου Αἰλίου Ἁδριανοῦ
Ἀντωνείνου Σεβαστοῦ Εὐσεβοῦς Τῦβι — 29 Dez. 145 n. Chr.
γ̅. Δ(ι)ὰ τῆς Σαβείνου τραπέζης
5 Ταμείων. Ἰσχυρίων Ἀφροδ(ισίου) καὶ οἱ
σὺν αὐτῷ ἐπιτη(ρηταὶ) στυ..(...) Ἀρσι(νοΐτου)
Πινοῦφι Τεσενούφεως μη(τρὸς) Στοτοή(τεως)
ἀπὸ κώμης Σοκνο(παίου) Νήσου Ἡρακλ(είδου)
μερίδος καμηλοτρόφῳ ἀπέχει(ν) αὐτὸ[ν]
10 τέλος ὧν παρεκόμισεν ἀπὸ Ὀάσεως
μικρᾶς δι(ὰ) πύλης Νύνπου εἰς Ἀρσι(νοΐτην)
στυπτηρ[ί]ας ψιλῶν ταλάντων τριάκον-
τα, ὡς τοῦ ? α ςα̅ρ̅ ςμε, τὰ γεινόμε[να]
μεταλλικὰ ? ιβ, φορέτρου αὐτῶν
15 ?(ασιου) ς ζ, ρ̅ ς η, τὰς συναγομ(ένας) ἀργ(υρίου) ς ρλε.
Περιείληφεν δὲ ὁ Ἰσχυρίων παρ' ἐπιτ(ηρήσεως)
Ὀάσεως μεικ(ρᾶς) δι' ὧν προγ(έγραπται) καμήλω(ν)
τα... στυ.(..) μετα(λλικὰ) ? ιβ ὧν τὸ τέλο(ς)
ἐκ . . τὰς συνηθ(ως) διδομ(ένας) [.] ξ κ..[.].
20 (2 H) Ἰσχυρίων ἐπιτηρητὴς σὺν ἑ-
τέροις παρελάβαμεν τὰς τῆς
στυπτηρίας τάλαντα μετα[λ]-
λικὰ δέκα δύο, τὰ γεινόμε-
να ψειλὰ τάλαντα τριάκ[ον]-
25 τα, ὧν τὸ τέλος καὶ τὰ φόλε[τρα]
ἀποδεδώκαμεν.

Z. 6 στυ..] Στυ Pap. Ebenso Z. 18. vgl. στυπτηρ[ί]ας Z. 12. — 22 f. στυπτηρίας. — Der Einfuhrzoll auf Alaun beträgt für 1 Talent 1½ Drachmen, bei 30 Tal. also 45 Dr.; für 1 τάλ. μεταλλ. aber 7½ Dr., bei 12 Tal. also 90 Dr.; macht zusammen 135 Dr. — 22 στηπ] π corrigiert.

Fr. Krebs.



P. 7063 Recto. № 698

Papyrus. H. 24 cm. Br. 9 cm. Faijûm. 2ter Jahrh. n. Chr. Cursive.

...]ε.. ν[ο..]τα ἀπ' Ἀλεξανδρείας εἰς Κ[αι]ρ(ανίδα)
. . .]α.
. Εὐτυχ]ῆς εἰς τὸν ἀπηλ(ιώτην) ποιῆσαι τὸν ψυγμόν
. . .]καὶ ἤργησε ἑτοιμάσαι χαλκὸν εἰς τὰ ε[. .] . .
. . .]. Ὁμοίως τὸν αὐτὸν ψυγμὸν ποιοῦντ(αι)
. . . Εὐτ]υχῆς μετὰ Σαμβ[ά]τ]ος.
.]κερδῶν μετὰ Φαήσεως.
.]β̄ μετὰ Φαήσεως.
Εὐτ]υχῆς ἤργησε.
.]ν ἰφώδινσε κουτιβευ
Εὐτ]υχῆς εἰς τὸν ἀπηλ(ιώτην) ἐφοδεῦσαι τὰ δράγμα[τ]α
. .].ου εἰς Κερκεσοῦχ(α) μετὰ Φαή[σ]ε[ως]
. . .]ηργήσαμεν εἰς ἀνθρώπιν[ο]ν [.]αμβελ
Εὐτ]υχῆς καὶ ὁ γέρδις ἐδραγματήγου(ν) .)
.]. . ἐλίκμα μετὰ Φαήσεως.
]. . δ. . (. . .) ἐποτίζαμ(εν) κουτιβευ
]. . ωενιν αἴροντ(αι) ἐγγὺς τῆς ἅλω.
]. ἐ. . . . . μεν τῇ ἅλωι.
]. . εἰς καὶ Γ. . . . καὶ Φαῆσις ἐλικμῶμ(εν)
]. . . . τῆς ἅλω. ἐγγὺς τῆς κώμης
]. . . . β̄ κριθὴν συνεκομίζαμεν
]. ἀχυρηγοῦντες κουτιβευ
.]Εὐτυχ(. . .) συνλίγε καλάμην τοῦ αὐτοῦ τόπου
.]ν μετὰ Φαήσεως δραγματηγῶν δ̄ καὶ ε̄
]καλάμην συνελίγαμεν ὁ(μοίως) κουτιβευ
. .]καὶ ἄλλης ... . Ἐκ τούτων περιεγένοντο
. .].ω ἀλούτρων ... τὰ ναῦλα χωρὶς τῶν
. .]συνεκομίσαμεν τὰ παιδάριά σου ἔλαβε ἀπ' αὐτῶν
. .]αλάμει ποιοῦσι ὅτι πωλήσομεν δεῖ τὸν εἰς τὰ δημό-
.]αλ[.]ων ὅτι ἕως μοι γράψῃς εἰ μὴ ἐν τάχει μοι
. λ]άβῃ σου ἡ μήτηρ, ἢ ποιήσῃς τινὰ φροντίζειν

verte.



(P. 7063 Recto.) (№ 698)[2]

32 . . .]ς αὐτῶν πάντα, μὴ αὐτοὶ ὄψονται περὶ πάντων
. . ἐν τ]άχει τὴν ἀντιφώνησιν. Εἰ δ' ἄρα μὴ τ[α]χέως
. . .]μήτηρ, καὶ πέμψ[ον?] μοι χαρτάριον.

Z. 26–34 anscheinend später von derselben Hand hinzugefügt.

Fr. Krebs.

P. 8669 Recto. № 699.

Papyrus. H. 17 cm. Br. 12,5 cm. Faijûm. 2. Jahrh. n. Chr. Cursive.

Ἐργ(άτας) γ̄ ὑπουργοὺς αὐτοῖς τοῖς οἰκοδόμοις ∠ ϛ
ἐργ(άτας) γ̄ σὺν κυριακοῖς ὄνοις δ̄ καὶ ὀνη(λάτην) α̣
π̣λ̣ινθοφόρους ἀπὸ καμε̣ι̣νου ἰς οἰκοδομὴν
ἰ̣σ̣αγωγοῦ κ̣τή(ματος) Μεθυσίωνος ∠ β̣
5 [. . . . .]πηλοφοροῦντες αὐτοῖς ∠ .
[. . . . . π]λινθοφοροῦντες ∠ .
[. . . . .]μ̣ο̣ι γ̄ οἰκοδόμους ὁμοίως ∠ [.]
[ἐργ(άτας)] γ̄ ὑπουργοὺς αὐτοῖς τοῖς οἰκοδό(μοις) ∠ [.]
[. . . . .]πηλοφοροῦντες αὐτοῖς ∠ [.]
10 [. . . . .]π̣λ̣ι̣ν̣θοφοροῦντες τοῖς οἰκοδόμοις ∠ .
[ἐργ̄ .]μ̣εθ' [ὄ]νων κυριακῶν γ̄ καὶ ὀνηλ(άτου) α̅
[πλινθ ο]φ[ο]ροῦν[τ]ες ἀπὸ καμείνου κτη(μ . .) β[. . . .]
[. . . . .]ς Μεθυσίωνος ∠ [.]
ἐργ̄ β̄ μεθ' ὄνων κυριακῶν γ̄ καὶ ὀ̣ν̣η(λάτην) α̅ πλιν-
15 [θοφορο]ῦ̣ντες ἰς τὸν α̅ ἰσαγωγὸν κτη(ματος)
[Μεθυσ]ίωνος ἡμερῶν β̄ . . ἐργ(άται) δ̄ ∠ ϛ

ρκγ∫

4 u. ö. l. εἰσαγωγοῦ und εἰς. – 3 u. ö. l. καμίνου.
In Z. 5 und 6 = 9 und 10 ist wohl ἐργ(άτας) mit einer Zahl zu ergänzen.

Fr. Krebs.

P. 8669 Verso. № 700

Papyrus. H: 17,5 cm. Br: 12,5 cm. Faijûm. 2 Jahrh. n. Chr. Cursive.

πρεσβ(ύτεροι)·
β̄ κλῆρος
Σερῆνος Ἰουλίου
Διογένης Λουκρητίας
5 Ἀλλᾶς Πρείσκου
Παβετᾶς Θιᾶτος
Ἀμμωνᾶς Γερμανοῦ
Ἀντῶνις μητ(ρὸς) Σύρας
Παειήους Κούιτος
10 Ζώιλος Νείλου
Ὧρος Παψώιτος
Ναραοῦς Κοῦσις

Fr. Krebs.

P. 8667. № 701


Papyrus. H. 5,5 cm. Br. 7 cm. Faijûm. 2 Jahrh. n. Chr. Cursive.

Σιτ̣ο̣λ̣ό̣γοι(ς) κώ(μης) Κα̣ρ(ανίδος)
χαίρειν.
Ἔσχον παρ' ὑμῶν εἰς
δάνιον σπέρματα τοῦ
5. ἐνεστῶτος κς ═ ἀπὸ γ(ενήματος)
τοῦ δ̣ιεληλ(υθότος) ιϑς.
Hier bricht der Papyrus ab.

---

4 l. δάνειον
5 κς (Jahr 20) wohl des Antoninus, 156–157 n. Chr.

Fr. Krebs



P. 8681 Recto. № 702

Papyrus. H: 15,5 cm. Br: 9 cm. Faijûm. Cursive.

11 Dez. 151 n. Chr.

Ἔτους πεντεκαιδεκάτου Αὐτοκρ[άτορος]
Καίσαρος Τίτου Αἰλίου Ἁδριαν[ο]ῦ
Ἀντωνείνου Σεβαστοῦ Εὐσεβοῦς μη-
νὸς Ἁδριανοῦ ιε. Διὰ τῆς Ἀπολ-
5 λωνίου τραπέζης Ἀγορᾶς. Δημάρι-
ον Πετερμουθίωνος μετὰ κυρί-
ου τοῦ (sic) συνγενοῦς Πτολεμαίου τοῦ
Ἀφροδεισίου Εὐποροῦτι Πτολε-
μαίου τοῦ Μύσθου, ὡς ἐτῶν τεσ-
10 σαράκοντα πέντε, (sic) οὐλὴ ὀφρύι ἀριστερᾷ,
μετὰ κυρίου καὶ ἐγγύου εἰς
ἔκτισιν τοῦ ἀδελφοῦ Ἡρακλεί-
δου, ὡς ἐτῶν τεσσαράκοντα, οὐ-
λὴ ὀφρύι ἀριστερᾷ, ἀμφοτέροις
15 ἀπὸ ἀμφόδου Ἱερᾶς πύλης, ἔ-
χειν τὴν Εὐποροῦν παρὰ τῆς
Δημαρίου παραθήκη[ν] ἀκίν-
δυνον παντὸς κινδύνου
καὶ ἀνυπόλογον παντὸς ὑπολόγου
20 ἀργυρίου δραχμὰς ἑκατὸ[ν]
ἑβδομήκοντα ἓξ / ἀργ̅ ϛρος,
ἃς καὶ ἀποδώσει ἡ Εὐπ[ο]ροῦ[ς . .]
νηνεκα ἐὰν αἱρῆται ἡ Δη[μ]άρι-
[ον . . .

Hier bricht der Papyrus ab.

Fr. Krebs.



P. 8680 Recto — № 703

Papyrus. H: 13,5 cm. Br: 12,5 cm. Faijûm. Schrift: Sorgfältige Cursive.
2 Jahrh. n. Chr.

. . . μ]ερίδος τῆς αὐτῆς οὐσίας
. . .] ἐν τόπῳ Λάρου λεγο(μένῳ) ἐλαιῶνος φο(ρίμου) ἀρ/ εd[?]
. . .] νυνὶ ἐκκεκομμένου.
. . .] ἐν τόπῳ Πίαν Τρύφωνος λεγο(μένῳ) ἰδιω(τικοῦ) χέρ(σου)
5 . . .] ξυλίτιδος ἀρ/ δ[?]
. . .] ἐν τῇ αὐτῇ διαθέσι
. . .]· ἐν τόπῳ Πίαν Θιακοῦ [λε]γο(μένῳ) ἰδιω(τικοῦ) σπο(ρίμου) ἀρ/ [· ·]
. . .] νυνὶ ἀσπόρου καὶ ἀβρόχ[ου]
·ἐν τῷ α]ὐτῷ τόπῳ ἰδιωτικο(ῦ) χέρσο(υ) ξυλίτιδ(ος) ἀρ/ α·[· ·]
. . .] ἐν τῇ αὐτῇ δια[θέ]σι.

---

2 u. ö. ἀρ/ = ἄρουραι. — 6 und 10 l. διαθέσει.

Fr. Krebs.

P. 8792. — № 704

Papyrus. H: 11,5 cm. Br: 8 cm. Faijûm. Schrift: Flüchtige Cursive.

Ἔτους δευ[τέρου Ἀντω]νίνου — 5 Juli 162 n. Chr.
καὶ Οὐήρου τ[ῶν κ]υρίων
Σεβαστῶν Ἐπὶφ ιβ. Διέγρ(αψε)
δι(ὰ) Σαταβ(οῦτος) καὶ μετόχ(ων) πρακ(τόρων) Σοκ(νοπαίου)
5 Νήσου Πανεφρέ(μμις) Στοτοή(τεως) τοῦ
Πανεφρέ(μμεως) μη(τρὸς) Τανεφρέ(μμεως)
χωμάτ(ων) πρ[ώτ]ου ἔτους
ς ξ̄ f / ς ς f προσδ(ιαγραφόμενα)
συμβολ(ικά).

Vgl. No 654 (von andrer Hand). — 8 erg. καὶ τὰ πρ.

Fr. Krebs.



P. 8352. № 705

Papyrus.*) H. etwa 21,5 cm. Br. 18 cm. Faijûm. Sorgfältige Cursive.

Ἔτους ιγ // Τῦβι ιθ // 14 Jan. (206) n. Chr.

Χαιρήμων π(ρεσβύτερος?) ε(ἶπεν)· Κέλευσον κληθῆναι Αὐρήλιον
Ἀρεῖον Πανίσκου καὶ ἀντίδικον Ἀντωνίαν Ἀρεία[ν]
μετὰ κουράτορος [Τ]οσσίου Πρείσκου. Κληθέντων κα[ὶ]
5 Ἀρεία[ς] μὴ ὑπ[α]κουσάσης Χαιρήμων π(ρεσβύτερος?) ε(ἶπεν)· Ἠνε[..]
[...]..[..].μα ἦν ἐναντίας μετὰ τοῦ κουράτορο[ς]
κα[.........]νέφ[η]ς] ὅτι τῇ ἑξῆς, ἐὰν μὴ[..]
παι[...............] κλη.μ[.]η[σ]εται[...]
μὴ ὑπ[ακου...
10 ... ε(ἶπεν)·
τῆς παιδὸς Χα.[...
λέγειν τη[...
διὰ τοῦ αὐτο[ῦ...
Χαιρήμω[ν...
15 .υνα[....]ατ.[...].[...
[.]ες ἀλλ[..]οεκ[.]ισον[...
καὶ τὴν δίκην μὴ εἶν[αι...

*) Bei Sargteilen gefunden.

2 und 5 π(ρεσβύτερος)] Pap. – ε(ἶπεν)] Pap.

4 [Τ] Von Τ ein schwacher Rest unter der Linie erhalten.

Fr. Krebs.



P. 7161. № 706

Papyrus. H: 21 cm. Br: 12 cm. Faijûm. Sorgfältige Cursive.

]ρκδ

. . . καὶ] Ἑρμαίωι τῶι καὶ Δρύτωνι .[. . .

. . .]ι κ̣[ωμο]γρ̣[α]μματεῖ Σοκνο(παίου) Νήσου κ̣[αὶ

. . . παρὰ Ἁρπαγάθ]ου τοῦ [Στο]τ̣οήτιος τοῦ Τεσεν̱ούφεως μ[ητρὸς . . .

5 . ἀπὸ κώμης Σοκ]ν̣οπαίου Ν̱[ή]σ̱ου, ἱερέως δ̄ φυλῆς ἱεροῦ λο[γί]μου . .

. Σοκνοπαίου Νήσο]υ. Ἀπογρ̱άφομ̱αι ἐμαυτόν τε καὶ τοὺς ἐμοὺ[ς εἰς

. . . β (ἔτους) Τ]ρ̱αιανοῦ Ἁδ̱ρ̱ιανοῦ Σεβαστοῦ κατ' οἰκίαν ἀπογρ̱[αφ-

. . .].ινωνικη καί εἰμι Ἁρπαγ̱άθης ὁ προγεγρ[αμμένος

. . . καὶ ἡ γυ]νή μου Θεναπῦγχις Στοτ̱ο̱ήτιος [. . . 117/118 n. Chr.

10 . . . καὶ τὸν ταύ]της υἱὸν Στ[ο]τοῆτ[ι]ν Στοτοήτιος τ[οῦ . . .

. . . καὶ τ.ν ἐ]μοῦ τοῦ Ἁρπαγάθου ὁμοπάτριον καὶ ὁμομ[ήτριον ἀδελ-

] Ὧρος ἄλλος ἀδελφός [. . .

. . . καὶ τὴν τ]οῦ Πεκύσεως γυναῖκα Ταπιῶμιν Π.[. . .

. . . καὶ]τὰς ἐξ ἀμ̱φ̱οτέρων θ̱υγατέρας Ταπεκῦσις[. . .

15] τ̣[αύ]τ̣ης ἄλλη [. . .

. . . κ]αὶ τοῦ Ὧρου γυναῖκα Ταπιῶμιν Τεσενού[φεως . . .

. . . κ]αὶ ἐμοῦ τοῦ Ἁρπαγάθου ~~αὐτῶν~~ πάντων προγεγραμμέ[ν. . .

] Ἑριέα Ἁρπαγάθου [. . .

. . . καὶ τὴν] ἐ̣μοῦ τοῦ Ἁρπαγάθου δούλην Ἰσιδώραν [. . .

20 . . . καὶ τὴν τ]ῆς μητρὸς ἡμῶ̱ν Ἑριεῦτος ὁμοίως δούλην [. . .

. . . καὶ τ.ν το]ῦ ὁμοπατρίου καὶ ὁμομητρίου μου (sic) ἀδελφοῦ Πε̱[. . .

---

2 Anfg. erg. Ἁρποκρατίωνι στρατηγῷ Ἀρσινοΐτου Ἡρακλείδου μερίδος. Harpokration wird in No. 660,4 neben einem Hermaios (s.o. Z. 2) als Stratege angeführt. In Z. 7 könnte auch ιεL (= 131/132) als Jahr der κατ' οἰκ. ἀπογρ. ergänzt werden. Aber für dieses Jahr ist Protarchos (647,2 vgl. 581,2) als Stratege belegt.

Am Zeilenende erg. βασιλικῷ γραμματεῖ τῆς αὐτῆς μερίδος.

3–4 erg. κ̣[αὶ λαογράφοις τῆς αὐτῆς κώμης παρὰ

5–6 erg.: ἐν κώμῃ

6–7 erg.: ἀπογράφομαι . . . εἰς τὴν τοῦ διεληλυθότος β (ἔτους)

21. hinter dem Eigennamen Πε̱[. . . erg. δούλην oder δοῦλον.

Fr. Krebs.



№ 707.


P. 8681 Verso.
Vgl. No. 702 *) Steile Cursive. Schrift z. T. fast ganz verlöscht.

οἱ ϛ̄
ἱερέων ἱεροῦ ὄντας ἐν κώ-
μῃ Καρανίδι Πετεσούχου καὶ
Πνεφερῶτος Θέωνι Πεθέ-
5 ως χαίρειν. Ἀπ̣έ̣χ̣[ο]μ̣ε̣ν̣
παρά σου τὰς ἐπισταλίσας
σὺν ἄλλοις (sic)
σοι παρὰ τῶν δημοσ̣ί̣ων
τραπεζειτῶν̣ τ̣ὸ̣ [ἐ]π̣ι̣βάλ-
λον ἡμῖν μέρος ὑπὲρ ἀργυ-
10 ρικῆς συντάξεως τοῦ ἐν-
εστῶτος κς̣ · [·] · · [· · · ·] ·
εἰς τὰς γινομένας ἐν τῷ
ἱερῷ δαπάνας τὰς κατὰ συ-
νήθιαν̣ ἐπιστ̣ε̣λ̣λ̣ο̣μένας
15 πλήρης̣ καὶ οὐδ̣έν σοι ἐνκα-
λ· · · π̣ερὶ τούτου ἀ̣ργυρίου
ση (sic)

Conzept einer von 6 Priestern, deren Namen hier noch nicht genannt sind, ausgestellten Quittung.
6 l. ἐπισταλείσας. – 8 l. τραπεζιτῶν. – 13 fg. l. συνήθειαν.
11. Die Jahreszahl ist entweder κϛ (Jahr 20 des Marcus und Commodus = 179/180 n. Chr.) oder κβϛ (Jahr 22 des Commodus = 181/182 n. Chr.).
16. Das zu erwartende ἐνκαλοῦμεν stand nicht da.

*) Also nach 151 n. Chr

Fr. Krebs.



P. 7192. | № 708.

Papyrus. H: 21 cm. Br. 8 cm. Faijûm. Cursive.


[· · · · · · · ·]·υνε̣· ·[· · · ·] ης
[· · · · · · · ·]· ·ας Σοκμ̣[ή]νι Ἀπύγ-
[χεως χαί]ρειν. Ἀπέχ[ο]μεν πα-
[ρὰ σοῦ τὴν τιμ]ὴν χόρτου φυῆς
5 [τοῦ ἐνεστ]ῶτος ε (ἔτους) Ἀντωνίνου — 164/165 n. Chr.
[καὶ Οὐήρου τ]ῶν κυρίων Σεβαστῶν
[ὧν ἐμίσθ]ω̣σας παρ' ἡμῶν τῆς
[· · · · · · · ·]ης κληρουχίας περὶ
[Ψεναρψεν]ῆσιν τῆς καμηλι-
10 [ανῆς οὔ]σης ἀρούρα̣ς (sic) τρῖς
[· · · · · · · ·]ῶσι εἰς κ̣οπὴν καὶ
[εἰς σπορὰν·] πυροῦ μέτρῳ ἑξα-
[χοινίκῳ] ἀ̣ρτάβας εἴκοσι μί-
[αν· · · ·]ήσατε δέ μοι ἀπὸ
15 [δημοσίω]ν πάντων καὶ παντὸ(ς)
[εἴδους τῶ]ν προκειμέ[ν]ων ἀρου-
[ρῶν. Μυσ]θαρίων Ὥ[ρ]ου καὶ Ἁρπα-
[λος? · · · ἀ]πέχομεν τὰς τοῦ πυροῦ
[ἀ]ρ̣τ̣ά̣β̣α̣ς εἴκοσι μία̣ν̣ [κ]α̣ὶ̣ οὐδέν σοι
20 [ἐ]νκαλοῦμεν) περὶ οὐδενὸς καθὼς π(ρόκειται).
[Μυ]σθαρίων ἔγρ(αψα) καὶ ὑπὲ̣ρ̣ Ἁρπάλ̣ο̣υ̣
[μ]ὴ εἰδότος γρ(άμματα).

(ἔτους) πέμπτ̣ου Ἀντωνίνου καὶ — 29. Juni 165
Οὐήρου τῶν κυρίων Σεβαστῶν
25 Ἐπὶφ ε.

---

1 und 2 müßten die Namen der beiden Verpächter (vgl. 17 fg.) enthalten. — 7. ω in]ωσας scheint sicher. — 8. Erg. die Ordinalzahl. — 12. Anf. erg. σπορὰν? (vgl. 166,8). 14. · · ·]ήσατε Pap. l. · · ·]ησας. — δε corr. aus τε. — μοι für ἡμῖν. 20. κεν) Pap.


Fr. Krebs.



P. 7189. № 709.

Papyrus. H. 20,5 cm. Br. 16,5 cm. Faijûm. Zeit des Antoninus Pius. Schrift: 1 H: flüchtige Cursive. 2, 3 und 4 H: ungeübt.

· · · Σεβαστοῦ Εὐσε[β]οῦς μηνὸς Ἀπελλ̣[αί]ου Φαῶφ[ι — · · ·
· · · κλάσση]ς τῆς Ἀλ̣ε̣ξαν̣[δρί]ν̣ης Λυβερν̣[ι]οῦ Τουν̣πας · · ·
· · ·]ε·τοσ··ε̣ Γ̣ε̣λλί̣α̣ Δι̣δύμη μετ̣[ὰ κυρίου · · ·
· · ·]ῳ Βολουσσίῳ Σαβινι[α]νῷ υἱοῦ Γ[αΐ]ου Βολ̣[ουσ]ίου· ·
5 · · ·]ινου ἃ καὶ αὐτοῦ ἀ̣π[ο]λ̣υσίμου ἀ[π]ὸ στρατεία[ς· ·
· · ·]νον ὥστε καὶ ἐγγόνοις αὐτοῦ καὶ τ̣οῖς παρ' α[ὐτῶν· ·
· · · τῆς α]ὐτῆς με̣ρ̣ίδος κλήρου κατοικικοῦ ἀρουρῶν [· · ·
· · · ο]ὔσης ἀρου̣ρ̣ῶν τεσσάρων ἄρουραν̣ μίαν ἥμ̣[ισυ · · ·
· · ·]ον ὡς ὑπηγ̣όρ̣ευσαν τῆς μὲν ἀρούρ̣η̣ς μιᾶς ἡμ[ί]σους·
10 · · · ἀπηλ]ι̣ώτου Παπεῖ̣τος τοῦ Π̣ε̣θέως κλῆρος, τῆς δὲ [δευ-τέρας · · ·]
· · ·]ς, ἀπηλιώτου Πρό[κ]λου οὐετραν̣[ο]ῦ κλῆρος κ[ατοι-κικὸς · · ·]
· · · ἡ] Διδύμη παρὰ τοῦ Μάρκου Ἀνθε̣σ̣τίου Καπ[ί]τω-νος · · · · · · · ·]
· · · ἐ]ξ οἴκου κ̣[αὶ] β̣ε̣βαιώσειν τοὺς ὁμολο[γ]ο̣ῦντ̣α̣ς καὶ τ[οὺς παρ' αὐτῶν]
· · · πάσῃ βεβαιώ]σει ἃ καὶ παρέξασθαι ἀνέπαφα καὶ ἀνεχύρασ(sic)-τα καὶ ἀ[νεπιδάνειστα]
15 · · ·]·ων καὶ παραγραφῶ̣ν̣ πασῶν καὶ κατ̣ακ̣[ρι]μ̣ά-των [· · · · · · · · ·]
· · · ἔτ]ο̣υς Ἀντωνείνου Καίσαρος τοῦ κυρίου, ἀπό τε ἰ-δ[ι]ωτικῶν]
· ·]ιτ̣ο̣ῦ[πα]ρ'[α]ὐτοῦ τ[ῶν] π̣αρακεχωρημένων αὐτῷ [ὡ]ς πρ[ο]-κ̣ει[ται] καὶ [· ·]ο·[· · ·]
· · ·]καὶ τὰ ἐξ αὐτῶν περιγινόμενα ἀποφερομένους καὶ μεσιτεύ̣-οντας καὶ παραχω-
· · ·]·ς τούτων παραβῇ εἰ μὴ βεβαιοῖ̣, ἀποτισάτω ἃς ὑπείλη-φεν δραχμὰς καὶ τὰ
20 · · · εἰ]ς τὸ δημόσιον τὰς ἴσας, καὶ ὅπου ἐὰν αἱρῆται ὁ Βολού=-σιος Σαβινια̣ν̣ός



(P. 7189) (№ 709)²


...τ]ῆς παραχωρήσεως ταύτης διὰ τὸ ἐπὶ τοῦ παρόντος μὴ βε-
⁝ βουλῆ[σ]θαι
...τ]ῶν ὁμολογούντων τοῦ μὲν Γέλλιος Οὐάλης ἴδια γρ(άφων),
⁝ καὶ Γελλίας ὁ προγεγ[ρ(αμμένος) αὐ]τῆς κύριο[ς]
(2H) ...Λιβυρνοῦ Τουνπας καὶ Γελλία Δι[ι]δύμης (sic), ἀμφότεροι Κοίντου
⁝ Γελλίου
...Κοί]ντου Γελλίου Κλήμης Ἀντινοεὺς Ἀδριάνιος ὁ κ[αὶ] Σωσι-
⁝ κόσμιος
25 ...πέ]ντε ἡμίσους ἐν δυσὶ σφραγῖσι, ἀρούρας τρεῖς ἐν δυσὶ
...]ἀπὸ νῦν ἐπὶ τὸν ἅπαντα χρόνον ἀπὸ τῶν ὑπ[α]ρχόντων
⁝ ἡμῖν
...παραχ]ωρητικῶν κεφαλαιν (sic) ἐκ πλήρους ἀργυρίου δραχμὰς χιλια (sic)
...π]αντὸς ὀφιλήματος καὶ πάσης ἐνποιήσεος (sic) καθὸς (sic) πρόκιται.
...γρά]μματα.
30 (3H) Κόιντος Γέλλιος Οὐάλης στ[ρ]ατιώτης πα-
(4H) ...Ἀν]τίστοις (sic) Καπίτων εν[..]·στετω ει[· ·]·[· · · · ·]νο[· · ·]
⁝ · · · ·[· ·]

Auf dem Verso etwa 10 unkenntliche Zeichen.

---

1 Anfg erg. L.. Αὐτοκράτορος Καίσαρος Τίτου Αἰλίου Ἀδριανοῦ Ἀντωνίνου Σ.
An den Enden sind zu ergänzen bei Z. 1 etwa 30, 2 und 3 etwa 25, bei 4 etwa 6, 5-7 etwa 12, bei 8 etwa 9 und bei 9 etwa 7 Buchstaben.
23 beginnt etwa: Κόιντος Γέλλιος Οὐάλης.
27 l. κεφαλαίων und χιλίας.
28 l. ἐμποιήσεως καθὼς πρόκειται.
29 erg. etwa: ... ἔγραψα ὑπὲρ αὐτῶν μὴ εἰδότων γράμματα.
14 l. ἀνενεχύραστα. — 15 κατακ[ρι]μάτων (Wilcken).
16 erg. i. καὶ πάσης ἐμποιήσεως (Wilcken). — 19 ει Pap. l. ἢ (Wilcken).
22 erg. Ὑπογραφεῖς τ]ῶν (Wilcken).


Fr. Krebs.



P. 7835 Recto. № 710.

Papyrus. H. 19 cm. Br. 9,5 cm. Faijûm. Steife, ungeübte Cursive.

...]η δημοσία κατὰ τὸ ἥμισου (sic) μέρος[...
...]αὐτῶν ο[ἰ]κονομεῖν ὡς ἐὰν αἱρῆται[...
...δί]σσὸν ἀλλὰ καὶ παρέξετε ὁ Πετρώνιος τ[...
...]ος Σατορνεῖλ[ο]ς τότε ἱππεύς, νυνὶ δεκαδάρ[χης...
5 ...]ν Ὡρίωνος ὡς L ξ οὐλὴ δακτ[ύ]λ(ῳ) μικ(ρῷ) χειρὸς δεξιᾶς...
...ἀπὸ] τῆς ἐνεστώσης ἡμέρας ἐπὶ τὸν ἅπαντα χ[ρόνον...
...τ]οῦ Πετεσούχου, νυνὶ δὲ Ἥρωνος τοῦ Ἥρων[ος...
...]πατ[έ]ρα παραχώρησις περιέχι κυρι[...
...]ἀρ[γ]υρί[ο]υ δραχμὰς διακο[σίας] διὰ χειρὸς κ[...
10 ...καθ]αρὰ ἀπὸ μὲν δημοσίων τελεσμάτων [πάντων...
...ἔτ]ους Ἀντωνίνου Καίσαρος το[ῦ κ]υρίου, ἀπὸ δὲ [...
ὡς ἐ]ὰν αἱρῶνται ἀνεμποδίστως, ἐὰν δὲ μ[ὴ...
...]. Ἔστι δὲ τοῦ συστατικοῦ ἀντίγραφον ε[...
...Μ]αρκιανοῦ Θερμουθᾶτι Ζωΐλ[ο]υ τῶν ἀπὸ κ[ώμης
15 ...]τα κατηντηκότα εἰς αὐτὸν ἀπὸ τοῦ μετ[α...
ὡς ἐὰν αἱρῆ]ται ἀνεμποδίστως καθὼς καὶ αὐτῷ[...
...].νιος Κ.[.]λου Πέρσης τῆς ἐπιγονῆς ὡς L[...
...]νονοις τελείων ἀρεστῶν τεσσάρων[...
...]ἀποτεισάτω ἑκάστου κ[εφ]αλαίου δραχ[μὰς...
20 ...]αν Πτολλίδος Πέρσης τῆ[ς] ἐ[π]ιγονῆς ὡς L[...
...]στου συνφύτου ἀρούρη[ς] μιᾶς ἡμίσους[...
...Πε]τρώνιος Οὐαλεριανὸς ἀφῆλιξ διὰ φροντι[στοῦ...
οὐλ(ὴ) .....]ῳ ἀρ(ιστερῷ) τοῖς δυσὶ Πέρσαις τῆς ἐπιγον[ῆς...
...].νισμένοι τῷ ἀφήλ[ι]κι ἢ τῷ φροντι[στῇ...
25 ...]ος Ἡρακλειανὸς ὁ[ς] τ[ε] Ἀντιν[ο]εῖος ὁ κ[...
...κ]εφαλεὺς κριθῆς ἀρτάβας δέκα μ[έτρῳ...
...]ου Πτο[λ]εμαί[ο]υ Σωσικόσμιος [ὁ] καὶ Ἀλ[θαιεύς
...τόκου δρα]χμιαίου τῇ μνᾷ κα[τ]ὰ μῆνα καὶ α.[...
...Πετρώνιο]ς Οὐαλεριανὸς ἀφῆλιξ διὰ φροντι[στοῦ...
...τῆς ἐπιγον]ῆς ὡς L λ οὐλ(ὴ) γασ[τ]ροκνημίᾳ ἀρ(ιστερᾷ) [...
30 ...τοῦ εἰσ]ιόντος δεκάτου ἔτους οὔσης αὐτ[... 146/142 n. Chr.
...]ους στρατιώτης ὡς L λ οὐλ(ὴ) ὑπὲρ γ.[...



(P. 7835 Recto.) (№ 710)[2]

Anmerkungen.

1 l. ἥμισυ. – 3 l. παρέξεται. – 4 l. τότε. – 8 l. περιέχει. – 11. erg. etwa: μέχρι τοῦ διεληλυθότος ἐνάτου ἔτ]ους. 19 l. ἀποτισάτω.

Fr. Krebs.


P. 8788. № 711.

Papyrus. H. 22,5 cm. Br: 8 cm. Faijûm. Cursive.

Αὐνῆς πράκ(τωρ) νομαρχ(ικῶν)
κώμης Βακχ(ιάδος) Ἡφαιστι(άδος?)
πρεσβυτέροις κώμης
Σοκνοπαίου Νήσου.
5 Ἔσχον εἰς λόγον μονο-
δέσμ[ης] χόρτ[ο]υ καὶ ἄλ-
λων εἰδῶν δραχμὰς
ἑκατὸν ἑξήκοντα
/ ρξ. Ἔτους ιθ/ Αὐτοκρατόρω[ν]
10 Καισάρων [Μάρκο]υ Αὐρηλίου
Ἀντωνίνου [κ]αὶ Π[ο]υ(β)λίου
Σεπτιμίου [Γ]έτα Β[ρε]ττανικῶν
Μεγίστων Εὐσεβῶν
Σεβαστῶν Παῦνι ε.

30. Mai 211 n. Chr.

Fr. Krebs.



P. 7293 Recto.

Papyrus. H. 22 cm. Br. 49 cm. Faijûm. Cursive. 2 Jahrh. n. Chr.

№ 712.

Col. I.

Παρέλαβ[ε Πτολ]εμαῖος
μικρὸς παρὰ Ὡρίωνος οἴνου
γενήματος ζ// η// Θὼ[θ] ι̣ε̣ — 12 Sept.
ιε. Ἡφαιστιάδος κερα νη ἐκ ς ις. — 14 Sept.
5 ιζ. Πεμὴ πομ[μ]αρίου κερα δ ἐκ ς ιβ.
κ. Πεμ̣ὴ̣ [πομα]ρ̣ί̣ου κερα ς ἐκ ς ιβ.
κβ. Δ[ι]ὰ [κα]μήλ(ων) κυριακ(ῶν) η — 19 Sept.
διὰ Ἡρᾶ καὶ Γα[ί]ῳ χωλῷ Μέμφ[εος]
μητροπ(όλεως) κερα δ ἐκ ιβ
10 ὁ̣[μ]ο̣ίως Μέμφεος (sic) κερα [.]η ἐκ ς ι=
Φαῶ[φι] γ. Διὰ καμή̣λ̣(ων) δ διὰ ἄ[λλ]ων — 30 Sept.
γ[. . .]ς[. . . . .]ιζ κερα λς. ἐκ ς ις
ιδ. Διὰ κα[μήλ(ων) .]διὰ Ἀβάρου — 11 Oct.
Μέ[μφεος] κ̣[ε]ρ̣α λ ἐκ ς ι=
15 Ἀθὺρ ιζ. [Ἡφ]αιστ(ιάδος). κερα̣ κ ἐκ [ς . .] — 13 Nov.
κγ. Ἡφ̣[αιστ(ιάδος) κ]ερα λ ἐκ [ς] . . — 19 Nov.
.[. .] . κ [. . . .] . . . . . [. . .] . . . ἐκ ς ις
[. . .] . [. . . . .]κερ[α . .] ἐ̣κ̣ ς ι=


Col. II.

[κδ. . . . . κ]ερα [. . ἐκ] ς ις
ὁ(μοίως)[. . . . .]κερα [. .] ἐκ ς ι=
κε. Ἡφαι[σ]τ(ιάδος)[κ]ερα ι̣δ̣ [ἐ]κ ς ι[.]
ὁμοίως Πεμὴ κερα̣ [. .] ἐ̣κ̣ ς̣ δ=
5 Τῦβι δ. Μεταβλ(ηθέντα) κερα̣ κβ ἐκ ς ιδ= — 30 Dez.
ιϛ. Πεμὴ κερα [. .] ἐκ ς ιδ = — 11 Jan.

---

pass. κερα = κεράμια. — II. 2. ὁμοίως)] ο Pap.

verte.



(P. 7293 Recto.) (Nº 712)[2].

ὁμ[οί]ως Πεμὴ [κερα̃ ·]β̄ ἐ[κ ϛ] ιδ ⸗ — 11 Jan.
κγ. Ἡφαιστ(ιάδος) [κε]ρα̃ [· ·] ἐκ] ϛ ιϛ
ὁμοίως Πεμὴ κε[ρα̃ · ·] ἐκ ϛ [ι]ϛ
10 Με[χ]ὶρ β̄. Ἡφαιστ(ιάδος) [κερα̃ · ·] ἐκ ϛ ι̣ϛ — 27 Jan.
ὁμοί[ως] μ[ετ]αβλ(ηθέντα) · · [κερα̃ ·]β̄ ἐκ ϛ ιδ ⸗
θ̄ [· · · ·] · [· ·] κ̣ερα̃ [· ·] ἐκ ϛ [·] — 3 Febr.
ιζ̄. [Βο]υ[τ]ίτ[ο]υ κερ[α̃ ι]ιζ ἐκ ϛ ιη ⸗
ὁμ̣[ο]ί̣[ω]ς Πεμὴ ελ̣(· ·) κερα̃ κ ἐκ ϛ ιη ⸗
15 κζ̄. Βουτί[το]υ [κ]ερα̃ η ἐκ ϛ κ
Φα̣μ̣ε̣νὼθ ᾱ. Διὰ καμήλ(ων) δ̄ διὰ — 25 Febr.
[· · ·] · [· · · ·]ω α̣. Βουτ(ίτου) κερα̃ μ ἐκ ϛ κ
ὁ̣(μοίως) · · υ(· ·)[· · ·] Βουτ(ίτου) κερα̃ κδ̣ ἐκ ϛ κ
[· · · · · · · ·] Βουτ(ίτου) κερα̃ μ̣ ἐκ ϛ κ
20 ιθ̄ Δ̣ι̣ὰ̣ [κα]μήλ(ων) ϛ διὰ π̣α̣ ~~ · · χ̣ω̣λ̣ο̣ῦ̣ ς~~ — 15 März
[· · · · · ·] Βουτ(ίτου) κ̣ε̣ρ̣[α̃] μϛ ἐκ ϛ κ

Col. III.

Φαρμοῦ[θι ·] Β[ουτίτο]υ κερα̃ · · ἐκ ϛ κ
Παχ[ὼν]. [το]ῦ ν̣[ο]υ π̣α̣ρ̣ο̣χῆς
κερα̃ κ ἐκ ϛ κ
ὁμοίως Βουτίτου κερα̃ κ ἐκ ϛ κ
5 λ. διὰ [κα]μήλ(ων) δ̄ διὰ Πεθεῦτος Βουτ(ίτου) κερα̃ μ ἐ̣κ̣ ϛ κ — 25 Mai
Παῦνι[ι]. Διὰ κ̣[α]μήλ(ων) ε̄ διὰ Πενπίτο̣υ̣
Βο[υ]τίτου κερα̃ μη ἐκ ϛ κ
κε. Ἐξεμετρήθη Βουτ(ίτου) κερα̃ π ἐκ [ϛ] ιϛ — 20 Juni
κθ. Διὰ [κα]μήλ(ων) ε̄ διὰ Πεκ̣ῦτος Βουτ(ίτου)
10 κερα̃ μ. ἐκ ϛ ιϛ
Ἐπὶφ δ. Διὰ καμήλ(ων) ε̄ διὰ Πεθεῦτος — 28 Juni
καμήλ(ων V.) Κ̣υριλλοῦς κερα̃ μϛ ἐκ ϛ ϛ
ν. Διὰ καμήλ(ων) δ̄ διὰ Πολυδεύκ[ο]υς — 2 Juli
κερα̃ ν̣ζ [ἐκ ϛ · ·]

II,20. Das Ende, von διὰ an, ausgestrichen und von 2 H. darübergeschrieben.

Krebs.



P. 8658. № 713

Papyrus. H. 24 cm. Br. 9 cm. Faijûm. Schrift: Z. 1-28: flüchtige Cursive.

Ἔτους δευτέρου Τιβερίου Κραυτίου
[Καίσαρο]ς Σεβαστοῦ Γερμανικοῦ Αὐτωκ(ρ)ά(τορος) — 41/42 n. Chr.
[μ]ηνὸς Θεογεναίου ἕκτη ἐν τῇ Σοκνο-
[παί]ου Νήσου τῆς Ἡρακλείτου μερίδος
5 [Ἀ]ρσινοείτου νομοῦ. Ἐδάνεισεν Στοτοῆ-
[τις ·]τ· · υἱοῦ ὡς ἐτῶν τεσσαράκοντα
[· ·]· ·[· ·]χειρὸς δεξι Ἁρπαῆσις Τεσενού-
[φεω]ς ὡς ἐτῶν τεσσαράκοντα πέ[ντ]αι
[ο]ὐλὴ ὑπὸ ὄμμα ἀριστερα καὶ Σαταβοῦς
10 [το]ῦ Ἑριεῦ[ς] Λα· · ας ὡς ἐτῶν εἴκωσι ἑπτὰ
[οὐ]λὴ · · · ατίᾳ δεξιᾷ καὶ<καὶ> Πανεφρύ-
μις τοῦ Ἑρ[ιεῦ]ς ὡς ἐτῶν τεσσ]αράκοντα
[οὐ]λὴ μετώπει μέσοι καὶ Ὀννῶφρις Πανο-
μιεὺς ὡς ἐτῶν τριάκοντα ἕξ οὐλὴ χειρὺς (sic)
15 δεξιᾷ καὶ Σαταβοῦς τοῦ Ἑριεῦς Ἀπῦγχις
[ὡς ἐτ]ῶν τριάκοντα πένται οὐλὴ ἀντι-
[κ]νημι ἀριστερᾷ καὶ Ἁρπαῆσις τοῦ Ἁρπαγά-
[θ]ου πρεσβυτέρου ὡς ἐτῶν τεσσαράκοντα
οὐλὴ ῥινο μ[έ]σοι καὶ Παγῦσις τ[ο]ῦ [Ἀ]ρπαγάθου
20 [ὡ]ς ἐτῶν τριάκοντα πένται οὐλὴ κνήμ[ῃ] ἀριστ(ερᾷ),
[οἱ ἑπ]τὰ Πέρσης τῆς ἐπιγωνῆς ὁμολοῦ(sic)γοῦμεν
[ἔ]χι τ[ὸ] δά[νειον ἐξ οἴκο]υ παραχρῆμα ἀργυρίο[υ]
[ἐ]πισήμοι καιφαλαίου καὶ Πτολαιμεαικοῦ νο[ο]μίσ]-
ματος δραχμὰς πεντήκοντα, τώκου ὡς ·[·]
25 [δρ]αχμῆ[ς] μια τῇ μνᾷ τοῦ μῆνα ἕκαστον, ἃς κ[αὶ]
[ἀπ]οτώσω ἐν μενὶ Νε[ρω]νείου τοῦ ἐ[νεσ]τῶτος — 41/42
[β] Τιβερίου Κρατί[ο]υ Καίσαρος Σ[ε]βασ[το]ῦ Γερμανι[κοῦ]
[Αὐτ]οκράτωρα. (2H.) Ὑπογρ(α)φεὺς τῶ[ν ὁ]μ[ολο]-
(3H) [γούντων · · · · ·] · · · · · · · · · Ἁρ[πα]-
30 [ή]σις Τεσενοῦφις (sic) καὶ Σαταβοῦς τοῦ Ἑριεῦς
καὶ Πανεφρύμμις τοῦ Ἑριεῦς καὶ Ὀννόφρ[ις]

verte



[τοῦ] Πανομιέως καὶ Σ[α]ταβοῦς Ἑριεῦς Ἀ[π ῦγχις καὶ]
[Ἀρ]παῆσις τοῦ Ἁρπαγάθου καὶ [Παγῦ]-
[σι]ς τοῦ Ἁρπαγάθους, οἱ ἑπτ[ὰ Πέρσαι τῆς]
35 [ἐπιγ]ωνῆς, ἀλλήρου ἔνγυ εἰς ἔκτισ, ὁμο[λ(ογοῦμεν)]
(4H) [ἔχι]ν τὸ δανηου παρὰ Στοτοῆτις
[ἀργυρίου ἐπισήμου κεφαλαί]-
[ου] καὶ Πτολεμ[αι]κοῦ νομίσματος]
[δρα]χ[μ]ὰς πεντήκοντα τόκ[ου ὡς ..]
40 [δραχμῆς μιᾶς τῇ μνᾷ τὶν μῆνα ἕκα]-
[στον, ἃς] καὶ ἀ[π]οδώσωι μηνὶ Νερονί[ῳ]
[τοῦ ἐν]εστότος β L Τιβερίου Κρατίου 41/42
[Καίσαρος Σεβαστοῦ Γερμ]ανικοῦ Α[ὐτοκράτο]-
[ρος ὡς] πρόκιται. Ἔγ[ρα]ψεν ὑπὲ[ρ αὐτῶν]
45 [μὴ ..].οδοτ.. γράματα Ζώιλο[ς ..]

Hier bricht der Papyrus ab.

Verso (ausgestrichen).

Τεσενοῦφις ....

Durchweg vulgäre Orthographie und Sprache.
1 und 27 l. Κλαυδίου. – 5 l. νομοῦ. – ἐδάνεισεν] εν corrig. aus αν.
7 fgg. Vermischung zweier Constructionen: 1) ἐδάνεισεν Στοτοῆτις Ἁρπαήσου καὶ .... τοῖς ἑπτὰ κτλ und 2) Ἁρπαῆσις καὶ ... οἱ ἑπτὰ ὁμολογοῦμεν ἔχ(ε)ι(ν) τὸ δάνειον.
7 l. χειρὸς δεξιᾶς. – 9 l. οὐλὴ und ἀριστερόν. – 16 fg l. ἀντικνημίῳ ἀριστερῷ. – 19 l. ῥινὶ μέσῃ. – 21 l. Πέρσαι. – 23 l. ἐπισήμου κεφαλαίου καὶ Πτολεμαικοῦ – 25 l. μιᾶς und τὸν (für τοῦ) (vgl. № 272, 6).
35 Gemeint ist ἀλλήλων ἔγγυοι εἰς ἔκτισιν. – 36 ἔχειν τὸ δάνειον.
44 erg. αὐτῶν μὴ εἰδότων. – 34 Αρπαγαθου<ς> corr. aus Αρπαγαθης.

Fr. Krebs.



P. 8657. № 714

Papyrus. H. 15 cm. Br. 12,5 cm. Faijûm. Ungeübte, dicke Cursive.*

Τασουχάριον Νε̣ί̣λῳ τῷ ἀδελ-
φῷ̣ πολλὰ̣ χα[ί]ρι̣ν. Πρὸ μὲν πάν-
των εὔχ[ο]μ̣[α]ι̣ σε [ὑγ]ι̣αίνιν καὶ τὸ προσ-
κύνημά [σο]υ̣ ποι[ῶ] παρὰ τῷ κυρίῳ

5 Σαράπ̣ι̣δι δι ε̣ . ε̣ι̣ . μμην σου διὰ Κα-
π̣ανου . . . λο . μη̣ . α . . τ̣ο̣ καὶ δήλω-
σ̣όν μοι̣, εἰ ἀπελα̣βες εἰ ο̣ὐ̣κ̣ ἀπέ-
λαβες. Ἀσπάζον̣ται ὑμᾶς τὰ παι-
δία πάντας κατ᾽ ὄνομα, Πτολεμαῖ-

10 ος Τιβερῖνος Σαραπίων, ἄσπα-
σε (sic) Ταοννώφριο̣ς̣ (sic) καὶ τὰ ἀβάσκαν-
τά σου τέκνα καὶ Ταβοῦς σὺν τῷ ἀν-
δρὶ καὶ τὸν (sic) πατέρα ἡμῶν Ἥρωνα
καὶ Πετεήους καὶ [τ]ὰ τέκνα Σῶμα

15 καὶ Νεστορίαινα. Ἀσπάζεται ὑμᾶς
ἄππα Σατορνεῖλος, καὶ δήλω-
σον ἡμῖν περὶ τῆς σωτηρίας
ὑμῶν. Ἐρρῶσθαι ὑμᾶς εὔχομαι.

Von der Adresse auf der Rückseite ist nur noch erkennbar:

. . . . X . . Τασουχαρίου.
X

Absender und Empfänger wie in No. 601 und 602, jedoch von andrer Hand.
Die erste Hälfte der Z. 1–8 ist stark verlöscht.
J. l. η̄.

Fr. Krebs.



P. 7046 № 715

Papyrus. H. 10 cm. Br. 19 cm. 1 Klebung. Faijûm. Steile, ungewöhnliche Cursive.

Col. I.

Γραφὴ σιτολ(όγων) ε ⌐—— Τραιανοῦ 101/102 n. Chr.
Καίσαρος τοῦ κυρίο[υ].
Κεφαλίων Δωρίωνο(ς)
Ἰωσῆς ὁ καὶ Τεύφιλο(ς) ἀπ Δοσθωνο(ς)
5 Ἀγχορίμφις (sic) Πανθῆρος
Πακῦσις Πνεφερ[ῶ]τος
Στράτων (sic) ουκ αλλιυ Ἰσάκ(εως)
Ελεα[. . . .] Πτ[ολεμ]αίου
Δωσίω[ν] Ζωπύρ[ο]υ
10 Ἡρακ(λῆς) Ἡρακλή[ο]υ
Αὐνῆς Ἥρωνος
Ὀννω.[.]ς Χαιρημ.[.] Φαῦσα (sic)
Ἡρακ[λ]ᾶς Μερσῶς
Πααῦς ὁ κ(αὶ) Σοκον[ι]ων Σ . . . ε . . ς

Hier bricht die Columne ab.

Col. II.

Ἀνδρο[. . .
Ἀβράμ[ιος? . . .
Αμφτ[. . .
Ζώπ[υ]ρος Λε[. .].[. . .
5 Πεσβοῦς πρεσβ(ύτερος) Ἀκουσιλ(άου)
Διδᾶς Φιβίωνος
Πτολ(εμαῖος) Δωσιθέου
Ἀμῆς Ψεναμούνεως
. . . . ς Ἰσάκεως

---

3 Δωριωνº Pap.

verte



(P. 7046.) (№ 715)[2]

10 Νείλων Πτολλίδος
Σαμβαθ(ίων) Ἰακούβου
Στοτοῆ(τις) Σαταβοῦτος
Ὀννῶφρις Σισόιτος Δημᾶ
·[·]· κωμογρ(αμματ...) δι(..) λα(ο)γραφ[..]
Hier bricht die Columne ab.

Fr. Krebs.

P. 8645. № 716
Papyrus. H. 18 cm. Br. 10 cm. Faijûm. Cursive.

Ἔτους τρίτου Αὐτοκράτορος
Καίσαρος Μάρκου Αὐρηλίου Σεουήρου
Ἀλεξάνδρου Εὐσεβοῦς Εὐτυχοῦς Σεβαστοῦ
Παῦνι κβ. Αὐρήλ(ιος) Οὐαλέριος Σαβεῖν[ος] καὶ
5 Ἅρπαλος Σαραπίωνος [κ]α[ὶ] β καὶ οἱ λοι(ποὶ) σιτολ(όγοι) κώ(μης)
Καρ(ανίδος) μεμετρήμεθα ἐν θησαυρῷ τῆς προκ(ειμένης)
κώ(μης) μέτρῳ δη(μοσίῳ) ξυστῷ ἐπαίτιω ἀπὸ
γενη(μάτων) τοῦ α(ὐτοῦ) ἔτους εἰς Νεῖλον Τιβόρσει
καὶ μ(ετόχους) δημοσίου πυροῦ ἀρτάβας πέντε ἥμισυ
10 Γ ε∠. Λ ὁμοίως εἰς τὸν α(ὐτὸν) καὶ μ(ετόχους)
δη(μοσίου) πυροῦ ἀρτάβας ἕνδεκα Γ ια.
Ὁμοίως [εἰς] τὸν α(ὐτὸν) Βακχ(ιάδος) κοι(νὸν) κ(α)τοί(κων)
διὰ τῶν ἀπὸ Καρ(ανίδος) πυροῦ ἀρτάβας δύο
ἥμισυ Γ β∠. Γί(νεται) ἐπὶ τὸ α(ὐτὸ)
15 ιθ.

Vgl. No. 64. – 10 (und 9) Pap. καὶ μ(ετόχους) Wilcken.

Fr. Krebs




P. 7976.
Papyrus. H. 18 cm. Br. 15,5 cm. Faijûm. Cursive.

№ 717

[. . . . .]ου ἀντίγραφ[ον] ὑπόκειται.
[Ἀμμώνιος . . . . .]τοῦ Εὐδαίμονος Σωσικόσμειος ὁ καὶ Ἀλθαιεύς, Ἰουλίᾳ Τερτίᾳ χω-
[ρ]ὶς κυρίου χρηματιζ[ούσῃ κατ[ὰ τὰ] Ῥωμαίων ἔθη. Ὁμολογῶ ἔχειν παρὰ σοῦ ἐπὶ τῇ
[θυγατρί σου . . . . .]ίᾳ φερνὴν ἀργυρίου δραχμὰς χειλίας ἑκατόν, ἀφ' ὧν εἰσὶ μὲν τειμῆ[ς]
5 [. . . . . ἐ]ξωμίδος λευκῆς [ἔρ]γων τριῶν δραχμῶ[ν] δια[κο]σίων εἴκοσι, ἄλλης τυραν-
[. . . ἔργων . . . .]δραχμῶν διακοσίων τεσσαράκοντα, ἑτέρας καλλαΐνης δραχμῶν
[ἑκατὸν τεσσαράκον]τα, ἄλλης κα[λλα]ΐνης ἔργων τριῶν δ[ραχμ]ῶ[ν] τετρακοσίων [. . .]
[. . . . . ἑ]κατὸν ἀργυρικὰς καὶ χρυσίου δοκιμείου σταθμῷ Ἀλεξανδρείνῳ
[μναιαῖα . . . .]ν τετάρτας δέκα ἐν κοσμαρίοις καὶ ἄνευ διατειμήσεως κτων
10 [. . . . .]ινα πάλλια πέντε ἐν χρώμασι, ὑποζώνην ὀναγρείμ[. . .] — (sic)
[. . . . . Ἀ]φροδείτην, σ[ύ]νθηκας ἕξ, ἀναστάσεις σκάφια[ς] [.]ἀι[. . .]τειν βαθ[. . .]
[. . . . .]α δύο, κάτοπτ[ρ]ον δίπτυχον, λαμπάδα, ληκύθ[ους] τέσσαρες, . [.]
[. . . . .]α λήκυθον [κα]σσιτερίνην, κάμπτρα κ[ι]βωτός, κόφινος πε . . .
[. . . . .]ερος κόφιν[ος], καθέδρα, μυροθήκη, πάντα ξύλινα, καθέδρα — (sic)
15 [. . . . . ἀποδ]ώσω ἐν τῷ ἐσομένῳ ἐπ' ἀλλήλων χωρισμῷ ἐν ὑπὲρ διαφο-
[ρᾶς . . . . σ]οῦ χορηγούσ[η]ς ἰς (sic) τὸ κοινὸν τῶν γαμούντων οἶκον καθ' ἔτος

verte



(P. 7976) (№ 717)[2]

[. . . . . καθαρὰς] ἀπὸ δημοσίων πυροῦ ἀρτάβας δέκα δύο καὶ . . . . Ἀμμώ-
[νιος ἐπιχορηγή]σω αὐτῇ τὰ δέ[ο]ντα πάντα καὶ τὸν ἱματισμό[ν] ὅσα π[ρ]ο[σ]ήκει
[γυναικὶ γαμετῇ κ]ατὰ δύναμιν [τοῦ] βί[ου], γεινομένης σο[ι] τῆς π[ρ]άξεως εἰ μὴ π[. .]
20 [. . . . .]. ἔκ τε ἐμοῦ [καὶ ἐ]κ τῶν ὑπαρχόντων μοι π[ά]ντων καθάπερ
[ἐκ δίκης . . . .]σοι οὔσης ἢ [. .]τὰ ἱμάτια ἢ τὴν συν . . . . σιν, τὸ δὲ χρυσίον
[. . . . .]. . υ ὁλκήν, τὰ δὲ ἄλλα οἷα ἐὰν ἐκβῇ ἐκ τῆς χρείας, τὸ δὲ χειρόγρα-
[φον τοῦτο δισ]σὸν γραφὲν ὑπ' ἐμοῦ κύριον ἔστω ὡς ἐν δημοσίῳ κατακεχωρισ-
[μένον . . . ἐγρ]άφη χωρὶς ἀλείφατος καὶ ἐπιγραφῆς. Ἔτους δω-δεκάτου Αὐτοκράτορος
25 [Καίσαρος Τ]ίτου Αἰ[λί]ου Ἁδριανοῦ [Ἀ]ντωνίνου Σεβαστοῦ Εὐσε-βοῦς Ἐπεὶφ κα.
[Ἐγὼ δ]ὲ βουλομένη ἐν δημοσί[ῳ] γενέσθαι ἀξιῶ ἀναλαβόντα (sic) πᾶν τὸ ὑπογεγραμ-
[μένο]ν ὑπ' ἐμοῦ περὶ τοῦ εἶναι αὐτὸ ἰδιόγραφον τοῦ Ἀμμωνίου κυρίου μου ἐπιγρα-
[φομέ]νου καὶ γράφοντος ὑπὲρ ἐμοῦ μὴ εἰδυίης γράμματα Μάρκου . . . . . . νου
[. . .]νου ἔχον (sic) ἐξ [ὀ]νόματος τῆς μητρός μου ὑπογραφὴν . . . . . [. . .] εσε
30 [. . . . . αὐ]τῆς μ[ὴ] ε[ἰ]δυίης γρά[μ]ματα Ἰσίδωρος . . . . . [. . . .] . . . κα
[. . . . .] μὴ [ε]ἰδ[υ]ίης γράμματα . . .

Hier bricht der Papyrus ab.

verte.



(P. 7976) (No 717)³

ANMERKUNGEN.

4 Anf. erg. nach Corp. Pap. Raineri I No. XXIV, 4. – 9. μναιαῖα und 15. ἀποδ]ώσω erg. v. Wilcken. – 11 l. ἀναστάσεις. – 15 επ Pap. l. ἀπ' 16 ς]ου̃ erg. von Wilcken. το Pap. l. τὸν. – 17 καθαρὰς] erg. von Wilcken. – Anfang von 18 und 19 ergänzt nach Corp. Pap. Rain. I No. XXVII, 12 fg.

Fr. Krebs.

P. 7882 No 718

Papyrus. H. 7 cm. Br. 9,5 cm. Faijûm. Cursive.

	Ἔτους πέμπτου Αὐτοκράτορος Καίσαρος	25 März 102 n. Chr.
	Νέρουα Τραϊανοῦ Σεβ(αστοῦ) Γερμανικοῦ	
	Φαμενὼθ κθ. Δι(έγραψε) Σαταβο(ῦς) Νεστνήφ(ιος)‥ Π[(?)]	
	Σοκνοπαίου Νήσου	
5	τέλος μόσχου ἑνὸς θυομέ(νου) [ἐ]ν τῆ	
	Νήσωι τῆ ἐνάτη καὶ ε[ἰ]κ[ά]δι.	25 März.

Darunter Thonsiegel: Der Gott Soknopaios*) als Krokodil mit Sperberkopf auf einer Schlange:




H: 1,6 cm.

Umschrift: L ε Τραι[ανοῦ Καίσ]αρος τοῦ κυρίου. 101/102

3 Βο(ῦς)] Ꮮ Pap. – δι(έγραψε)] ꟹ Pap. vgl. No 463, 4.
*) oder Horus; vgl. Lanzone, Dizionario, Tafel 216 und 217.

Fr. Krebs.



P. 8342. № 719

Papyrus. H. 10,5 cm. Br. 11,5 cm. Faijûm. 1–2 Jahrh. n. Chr. Z. 1–2 grosse und dicke, Z. 3–16 kleine und steife, ungeübte Cursive. Z. 17: ausgeschriebene Hand. Die Zeilenwenden sind stark verlöscht.

....Σ]τοτοή[τ...

..].ρ[..]κύριος.[....]..ς ἔγραψα ὑπὲρ τῆς μη-[τρὸς....]

(2 H.) ...]'[.] φρα[...]ν υἱοῦ Στοτοήτιος τοῦ Ἑριέος ὁμολογῶ συνκεχωρηκέναι μετὰ τὴν

..τοῖς τοῦ τετε]λευτηκότος μου ἑτέρου υἱοῦ Τεσενούφι υἱοῖς Στοτοή-τι καὶ Ὥρῳ, τῷ μ[ὲ]ν Στοτο-

5 [ήτι ..]οἰκίαν καὶ αὐλὴν ἐκ τοῦ [π]ρὸς νότου μέρους καὶ [τ]έ-ταρτον μέρος οἰκίας

..μέρος ..]δέκ[α]τον οἰκίας καὶ αὐλῆς π[ρ]ότε[ρ]ον Πατουλῶτος, καὶ Ὥρῳ καὶ Ἑριέα συνχωρῶ

...το]ν μέρους τῆς ἀνὰ ἀπηλιώτην τῆ[ς συ]νκεχωρημένης τῷ Στοτοήτι [οἰ]κία (sic) καὶ

[αὐλῆς ....]α[ὐ]λῆς, καὶ τοῖς τοῦ τετελευτηκό[τος μ]ου υἱοῦ Τε-σενούφι υἱοῖς Στοτοήτι καὶ

...οἰκίας καὶ] αὐλῆς καὶ συνχόρῶ (sic) τὸ (sic) υἱῷ μου Σ[τοτοή]τι καὶ Ὥ-ρῳ τοῖς δυσὶ εν...εκιας...

10 μύλος Θηβαι]κὸς σὺν τραπέζῃ καὶ ἣν ἔχομεν.[....]ν δέκατον λεσονίας Ἴσιδος Νεφερσῆ— (sic)

[τος ..δραχ]μὰς τετρακοσίας ὑπὲρ ὧν [ὀ]φίλουσ[ι λόγ]ῳ τῆς αὐτῆς λεσονίας ἀργυρίου δραχ-

[μῶν ...]καὶ ὅρμον[...]νου καὶ κόσμος (sic) Ἑρι[έας], τοῖς αὐτοῖς [υ]ἱοῖς Στοτοήτι καὶ Ὥρῳ καὶ θυ-

[γατρὶ ..ἐ]νδομενιῶν [π]άντων (sic) καὶ τὰ ἐνοφιλ[ό]μενα καθ' ὃν δ.. ..εο.....ον κληρο-

...]περιὰ πάντων ἔφοδε.[..]ης οὖσιν[..]τρῖς Στοτοῆ-τις (sic) καὶ Ὥρῳ καὶ Ἑριέα τὴν το

15 ..]ιακοσίας εἴ[κ]οσι, παρόντων δὲ Σ[ατ]αβοῦς Ἑριέος τοῦ Ἀπύγχιος καὶ — (sic)

verte



(P. 8342) (№ 719)²

. . διὰ τὸ μὴ] ε[ἰ]δέ̣ν̣α[ι] αὐτοὺς γράμμα[τ]α̣.

(3 H.)]Ἀναγέγρ(αμμένον) δ(ιὰ) Θεογίτωνος.

Neben Z. 16 und 17 zwei demotische Zeilen.
Die von einem berufsmässigen Schreiber geschriebene Urkunde (vgl. z. B. No. 183, 1-30) stand oben und ist ganz abgebrochen.
Ungefähr zu ergänzen ist der Anfang von Z. 4: [ἐμὴν τελευτὴν τοῖς τοῦ τετε]
Darnach wären vorn über 20 Buchstaben abgebrochen.
3 und 15 l. Ἑριέως. — 4 und 8 l. Τεσενούφιος. — 6 Πατουλῶ̣τ̣ος] vgl. 183, 14. 7 l. οἰκίας. — 9 l. συνχωρῶ τῷ — 13. 2 Buchstaben nach δ sind anscheinend durchstrichen. — 14 l. Στοτοήτι — 15. l. Σαταβοῦτος. 16. αυτους corr. aus αυτον.

Fr. Krebs.

P. 8454. № 720

Papyrus. H. 4,5 cm. Br. 10,5 cm. Faijûm. Flüchtige Cursive.

Σιτολ̣(όγοις) Κ̣[α]ρα̣ν̣ίδ(ος). Ἔσχον προσφω(νήσεως) (. . . . .) . . . . [.] . [.] . ς

κβ ς̸ Ἀντωνεινο̣υ̣ (sic) Καίσαρος τοῦ κυρίου — 158/159 n. Chr.
(2 H.) μη* Μυσθαρίων [Ἰ]σχυρίω̣ν̣ος [Κ]α-
ρα̣ν̣ί̣δ(ος) Πα[τ(σώντιος)]] 𐅵 . .

---

3. μη] erg. κληρουχίας. — 1 προσφω. vgl zu 279, 1/2. Die Lesung προσ ist sicher.

Fr. Krebs.



P. 8455. № 721

Papyrus. H. 6 cm. Br. 10,5 cm. Faijûm. Flüchtige Cursive.

Σπερ(μάτων) κβ 𐅵 Ἀντωνίνου Καίσ[α]ρος τοῦ] — 158/159 n. Chr.
κυρίου Ψεν(αρψενήσεως) βασι(λικῆς) ∟ δ∟[. . . . .]
∟ α d λη κ[λ]ηρουχ(ίας) Πρ[. . . .]
Ὀρσενούφεως ρ[. . .]ε ∽ β

3 erg. einen Namen.

Fr. Krebs.

P. 7282. № 722

Papyrus. H. 10 cm. Br. 8 cm. Faijûm. Schrift: Z. 1–7: flüchtige Cursive; Z. 7–9: sorgfältige Cursive, die sich der Unciale nähert.

[Ἔτο]υς β Αὐτοκράτορος [Καίσα]ρος — 161/162 n. Chr.
Μάρκου Αὐρηλίου Ἀντωνείνου
Σεβαστοῦ καὶ Αὐτοκράτορος
Καίσαρος Λουκίου Αὐρηλίου Οὐήρου
5 Σεβαστοῦ. Εἰργ(ασται) ὑπὲρ χωματικῶν) τοῦ διελ(ηλυθότος) α∟
Ἀθὺρ κ[δ] ἕως κη ἐν ὄρι νη(. . .) Πατισώντ . . .) — 20–24 Nov. 160
*(2H.) Καρα[νίδο]ς * Πτολεμαῖος
Μαῤῥ[εί]ους ὑπὲρ Παπεῖτ(ος)
Φανομγέως Θασῆτος.

5. χωματικῶν) erg. ἔργων. vgl. Greek Papyri, ed. by Grenfell and Hunt, № LIII (a) 4. — 6 l. ὀρ(ύγματι)? (vgl. ebenda (d.) 5.) – ωριΝΝ Pap.

Fr. Krebs.



P. 7285. № 723

Papyrus. H. 5,5 cm. Br. 7 cm. Faijûm. Cursive.

159/160 n. Chr.

Ἔτους κγ̄ Αὐτοκράτορος
Καίσαρος Τίτου Αἰλίου Ἀδριανοῦ
Ἀντωνίνου Σεβαστο(ῦ) Εὐσεβοῦς.
Εἴργ(ασται) ὑ(πὲρ) χω(ματικῶν) το(ῦ) διελ(ηλυθότος) κβ ς Ἀθὺρ ιβ̄ ι ιδ
5 τὴν κελ(ευσθεῖσαν) πενθ(ημερίαν) Ἐπ(οικίου) Ἀγ(αθῶν) Σοκνο(παίου) 8 Nov. 158
Ἀπῦγχ(ις) Στοτοή(τιος) ὑ(πὲρ) Πῶλις (αἰου)
ἀπελευθ(έρου) Θασῆτος.
(2H) Φανίας σεση(μείωμαι).

Vgl. Greek papyri, ed. by Grenfell and Hunt, No. LIII.
Z. 6, von υ) an, und 7 sind später nachgetragen.

Fr. Krebs.


P. 7278. № 724

Papyrus. H. 5,5 cm. Br. 6,5 cm. Faijûm. Flüchtige Cursive. 2 Jahrh. n. Chr.

Τετέλ(εσται) δι(ὰ) διὰ πύλ(ης) Καρανίδος) ρ̄ καὶ ν̄
Ὡρίων ἐξ(άγων) ἐπὶ ὄνο(ις) δυσὶ
ὀρόβ(ου) — ς / — ς.
Ｌ β̄ Φαμ(ενὼ)θ ἑπτα-
καιδεκάτη.

Vgl. Greek papyri, ed. by Grenfell and Hunt, No. L (h).
1. διὰ. Der Schreiber hat erst das Abkürzungszeichen ς gesetzt, dann aber das Wort ausgeschrieben.

Fr. Krebs.



P. 8789 — № 725


Papyrus. H. 32,5 cm. Br: 9,5 cm. Faijûm. Flüchtige Cursive.

† Ἐν ὀνόματι τοῦ κυρίου καὶ δεσπ[ότου]
Ἰησοῦ Χριστοῦ τοῦ θεοῦ καὶ σωτῆρ[ος]
ἡμῶν, βασιλείας τοῦ εὐσεβ(εστάτου) ἡμῶν
δεσπότου Φλ(αουίου) Ἡρακλείου τοῦ αἰωνίου — 21 Juli 618 n. Chr.
5 Αὐγούστου κ(αὶ) Αὐτοκρ(άτορος) ἔτους η Ἐπεὶφ κζ
ἀρχῇ ζ ἰνδ(ικτίωνος) ἐν Ἀρ(σινόῃ).

(2. H.) [Αὐ]ρήλιος Σαμβᾶς ὀρνεοτρόφ(ος)
[υἱὸς] Κολλούθου κἀγὼ ἡ τούτου
γ[ύ]μ(ε)τὴ Εὐπρ[αξί]α, θυγάτηρ Πέτρου,
10 π[αι]δίσκη Κυρίλλου τοῦ ἐνδοξοτάτου
στ[ρα]τηλάτου ἀπὸ τῆς Ἀρσινοιτῶν
πόλεως ἀπὸ ἀμφόδου Ἀψίδος:
τῷ εὐδοκιμωτάτῳ ἄπα Ὀλ*
[εὐνού]χῳ τοῦ αὐτοῦ ἐνδοξοτάτου
15 ἀ[νδ]ρός, χ(αίρειν). Ὁμολογοῦμεν ἐξ ἀλληλεν(γύης)
ἐσχηκέν[α]ι ἡμᾶς παρὰ σοῦ διὰ χειρ(ὸς)
[εἰ]ς ἰδίαν ἡμῶν χρεία[ν] χρυσίου
[νομ]ισμάτια τρία παρὰ κεράτια
εἴκοσι τρία τέ[τ]αρτον χρ(υσίου) νο(μισμάτια) γ π(αρὰ) κερ(άτια) κγ δ
20 κεφαλαίου, τὴν δὲ τούτων ἀπόδοσιν
δ[ο]ι[ποιη]σόμεθα τῇ τριακάδι τοῦ
εἰσιόντος μηνὸς Μεσορὴ τῆς παρούσης — 23 Aug. 615
ἑβδόμης ἰνδ(ικτίωνος) ἀτοκεὶ ἀναμφιβόλως.
Δώσω δέ σοι καὶ ὀρνίθια μεγάλα
25 τρία καὶ ἐπερ(ωτηθέντες) ὡμολ(ογήσαμεν). Αὐρή(λιος) Σαμβᾶ
κἀγὼ ἡ τούτο(υ) γαμ(έτη) † Εὐπραξία οἱ πρ(οκείμενοι) στοιχεῖ ἡμῖν
ὡς πρόκ(ειται) †

(3. H.) † di emu Petru . . . . δι' ἐμοῦ Πέτρου.

verte.



(P. 8789.) (№ 725)[2]

Verso.

† Σαμβᾶ ὀρνεγοιτμόφ[ου] . . [. .] . . . [. . .] Εὐπ[ρα]ξί[ας] παιδίσκης χρ(υσοῦ) νο(μισμάτια) γ π(αρὰ) κερ(άτια) κδ d εἰς τὸν εὐδοκιμ(ώτατον) ἄπα Ὀλ εὐνοῦχον †

8, 9 und 26 κἀγὼ und Εὐπραξία Wilcken. – 26. οἱ πρ(οκείμενοι) Wilcken.

Fr. Krebs.

P. 7788. № 726


Papyrus. H. 10 cm. Br.: 10,5 cm. Faijûm. Cursive. Aus byzantinischer Zeit. Oben und unten abgebrochen.

[. . . . .]ο . καὶ π[. . .] .
φανησομένης τιμῆς καὶ (. . σίτου)
λόγῳ τόκου αὐτοῦ σιτωμ(sic)έ[τρ]ῳ
δικαίῳ ἀρταβ[ῶν] τριῶν σι(του) (ἀρτάβας) γ,
5 τὴν δὲ τοῦ παντὸς (ἀ)πόδ(sic)ωσιν
σοι ποιήσομαι ἐν τῇ κώμῃ
μηνὶ Παῦνι ἀπὸ καρπῶν
[τῆς εἰσ](sic)ιούσης ἕκτης
ἰνδικ(τίωνος) ἀνυπερθέτως ἐξ ὑπαρ-
10 χόντων μου πάντων καὶ
ἐπερωτ(sic)ιθεὶς ὡμολόγησα.
(2 H.) Αὐρήλι[ο]ς Παρ. . [.]ος υἱὸς Ἰωά[ν]ν[ο]υ
[. . .

Verso.

. . .] λ . . π κ̣αρ . . . . . [. . . .] . . . πισμ[. .

Fr. Krebs.



P. 9749. № 727

Papyrus. H. 25 cm. Br. 14 cm. Faijûm. Z. 1–17 und 22. grosse geübte, Z. 18–21 kleine flüchtige Hand. Der Anfang fehlt, ebenso zw. Z. 7 und 8 vielleicht mehrere Zeilen. Aus byzantinischer Zeit.

[. . . . .]μφ[. . .].
γυναικι[. Αὐ]ρηλίῳ [Φοιβ]αμμῶ[νι] . ω (λ(sic))
κοστοῦ β[οη]θῷ καθόλου τῆς αὐτῆς πόλεως.
Ἔσχ[ομεν] καὶ ἐπληρώθημεν παρά σου
5 διὰ χειρ[ὸ]ς ὑπὲρ τοῦ π[α]ρελθόντος [. .] . .
[τῆς] π[αρε]λθού[σ]ης πεντεκαιδεκάτης ἰν-
[δικτίωνος . . .
. . .] . . . χίας
ἧς ε[. . .]ελ[. . .]το ὑπὲρ [τού?]του τοῦ κοινοῦ ρ . ο(. . .)
10 [. . . . .]υτ . . τ . . . .
χρυσίου [ν]ομισμάτια ἓξ π[α]ρὰ κεράτια τριάκοντα
ἕξ χρς ὁ ς ∤ κερ/ λς ζύγῳ Ἀρσινοείτου,
τὰ καὶ μερισθέντα ἐκ τοῦ κοινοῦ τῆς
πόλεως τῶν στιχαρίων τῆς αὐτῆς
15 πεντεκαιδεκάτης ἰνδικ(τίωνος), καὶ πρὸς σὴν (sic)
ἀσφάλειαν πεποιήμεθά σοι τήνδε τὴν
ἀποχὴν κυρίαν οὖσαν καὶ ἐπερ(ωτηθέντες) ὡμολογήσα(μεν).
(2 H.) Αὐρήλιος ἄπα Ὀλ, υἱὸς Φοιβάμμ(ωνος), (καὶ) Γερόντιος, υἱὸς Ἰσίωνος,
περιχύται οἱ πρoκ(είμενοι) πεποιήμεθα τήνδε τὴν ἀποχὴν
20 πληρωθέντες ὡς πρόκ(ειται). Αὐρ(ήλιος) Απ[. υἱ]ὸς Ἰωάννου ἔγραψα
ὑπὲρ αὐτῶν παρόντων ἀγραμμάτων ὄντων.
(3 H.) † di emu Epifaniu . . . . Δι' ἐμοῦ Ἐπιφανίου.

Verso.

. . .] περιχυτῶν εἰς Αὐρ(ήλιον) Φοιβάμμωνα βοηθ(ὸν) κ[α]θόλου.

---

2 μμ] vgl 15 πρὸς σὴν. 7/8. Es können auch mehrere Zeilen ausgefallen sein. 18 καὶ] ς Pap. 20. nicht ἄπα Ὀλ. — Nach der lateinischen Unterschrift folgen tachygraphische Zeichen.

Fr. Krebs.



P. 8799.   № 728

Papyrus. H. 40 cm. Br. 17,5 cm. Faijûm. Grosse Cursive. Aus byzantinischer Zeit.

† Καταλαβὼν Νεφερᾶς ὁ Μαῦρος ἀπ[. . .
αὐτὸν ἐκεῖσε διὰ χρείαν τινὰ ἀπη.[. . .
δεσπότης ὁ θ[εο]φ[ύ]λ[α]κτος κύρις[. . .
καὶ οὐκ ηὗρεν παραστῆσαί μοι τὸν χ.ρ.[. . .
5 εἰς τοσαύτην ἐνεχθῆναι φροντίδ[α . . .
ταῦτά μοι ἐκείνου ἀπαγγείλαν.[τ . . .
ἀρίστου καὶ οὐδενὸς ἑτέρου ἐδυν[. . .
ἐν πολλῇ εἰμι ἀθυμίᾳ τούτου χάριν . . .
ἀδελφικὴν λαμπρότητα εὐθέω[ς . . .
10 καὶ τὸν τρόπον τῆς ἀηδίας καὶ ὁ π[. . .
μικρὸν ἀπανῆψα τῆς τοσαύτης ἀθ[. . .
ἔπεμψα πρὸς ἁγίους μονάζοντας[. . .
τοῦ κοινοῦ δεσπότου τοῦ θεοφυλά[κτου . . .
καὶ πρὸς τοὺς ἁγίους μάρτυρας τῆς π[. . .
15 τῆς ζωῆς καὶ ὑγείας τοῦ κοινοῦ δεσ[πότου . . .
παρακαλῶ οὖν αὐτὴν ὡς εἶπον . . [. . .
ἵνα . . [. .] . ω[.] . . [. . .] φ[. . . .]σης φ[. . .


Hier bricht der Papyrus ab.

Verso.

(2. H) . .]. ἀδελφ(ῷ) Ἰωάννῃ νοταρ(ίῳ). (3. H) † Ποῦσις †

11 απανηψα] η scheint corrigiert.

Fr. Krebs



P. 6985. No 729.

Papyrus. H. 18,5 cm. Br. 12 cm. – Mischung von Cursive und Unciale. Subscription lateinisch

Διονυσίῳ Δε[ί]ου γενομένου στρατηγοῦ τῆς πόλεως
υἱῷ, νεωκόρῳ τοῦ μεγάλου Σαράπιδος, τῶν ἐν τῷ Μουσείῳ
σειτουμένων ἀτελῶν ἱερεῖ ἀρχιδικαστῇ καὶ πρὸς τῇ ἐπι-
μελείᾳ τῶν χρηματιστῶν καὶ τῶν ἄλλων κριτηρίων
5 παρὰ Πετρωνί[α]ς Σαραπιάδος μ[ετὰ κ]υρίου τοῦ ἀδελ-
φοῦ Γαίου Πετρων[ίο]υ Μαρκέλλου καὶ παρὰ Γαίου Ἰου-
λίου Ἀπολιναρίου στρατιώτου σπείρης πρώτης Ἀπα-
μηνῶν ἑκα[τοντα]ρχίας Ἰουλια[ν]οῦ. Συνχωρεῖ ——
ὁ Γάιος Ἰούλιος Ἀ[πολι]νάρι[ος εἰληφέ]ναι παρὰ τῆς
10 Πετρωνίας Σαρα[πιά]δος παραθήκην ἀκίνδυν[ο]ν
παντὸς κινδύν[ο]υ ἱμάτια γυν[αι]κεῖα συντετειμη-
μένα ἀργυρίου δραχμῶν τριακοσίων καὶ χρυσᾶ κοσ-
μάρια ἐν εἴδεσι ἐπὶ τὸ αὐτὸ τετάρτων τριάκοντα
δύο ἅπερ φυλάξει παρ' ἑαυτῷ καὶ ἀποκαταστήσει ——
15 αὐτῇ ὁπότε ἐὰν ἀπαιτῆται ἀνυπερθέτως ἢ ἐκτεί-
σει κατὰ τὸν τῶν παραθηκῶν νόμον, γεινομέ-
νης τῇ Πετρωνίᾳ Σαραπιάδι τῆς πράξεως ἔκ τῶν
τοῦ Γαίου Ἰουλίου Ἀπολιναρίου ὑπαρχόντων πάν-
των καθάπ[ε]ρ ἐγ δίκης ἀξιο(   ) Ἔτους ὀγδόου Αὐτοκράτορο(ς)
20 Καίσαρος Τίτου Αἰλίου Ἁδριανοῦ [Ἀντ]ωνίνου Σεβαστοῦ
Εὐσεβοῦς Φαῶφι [ε] [3] Oct. 144

(2. H.) . . . . [. .] . . . .

---

1 mit der πόλις kann nach dem Zusammenhang nur Alexandrien gemeint sein. – 8 Schluss ein Füllstrich. Ebenso Z. 14. – 10 zur Sache vgl. Nr. 114 I 5-13. – 19 ἀξιο(ῦται) ? – 21 oder [ιε].

WILCKEN.



P. 7008. No 730

Papyrus. H. 11,2 cm. Br. 8 cm. — Aus dem Pharbaithitischen Gau im Delta. — Von derselben Hand geschrieben wie Nr. 649 (vom J. 187/8). Vgl. auch 92. Besprochen von Wilcken, Griech. Ostraka I Kap. V § 4.

Σερήνῳ τῷ καὶ Ἀγαθῷ Δαί-
μονι στρ(ατηγῷ) Φαρ[β(αιθίτου)]
παρὰ Φιβήχιος Πανι-
νούθιος ἀπὸ κώμης Τα-
5 ναείρων τοῦ Τανείτου
νομοῦ κατ[αγε]ιν[ο]μένου
ἐν κώμῃ [. . . .]ει μετ' ἐν-
γύου ἐμο[ῦ τε καὶ τῶν] χοίρων
Ἀμουνίο[υ . . . . . .]ιος Χών-
10 σιος καὶ [. . . . . . .]ων πρεσβ(υτέρων ?)
Χενθή[ους ? καὶ τ ?]ῶν πρεσβ(υτέρων ?)
Χώνσι[ος ? . . . .] . . .
ἀπὸ τῆς [κώμης Χεν ?]θήο(υς).
[Ὀμνύω τὴν Μάρκου] Αὐρηλίου
15 [Κομμόδου Ἀντωνίν]ου

Hier bricht der Papyrus ab.

---

7 vielleicht Χενθή]ει? Vgl. 11 und 13. — 8 ergänzt nach 649,6. — 15 weiter zu ergänzen nach Nr. 649: Καίσαρος τοῦ κυρίου τύχην ἔχειν παρ' ἐμαυτῷ χοίρους κτλ oder ähnlich.

WILCKEN.



P. 1818.

No 731.

Papyrus. H. 14,5 cm. Br. 14,5 cm. Zwei Original-Klagschriften, die aneinander geklebt sind. – Faijûm. – Erste Hand: Cursive. Zweite Hand nähert sich der Unciale. Dritte Hand dito, schreibt mit rötlich brauner Tinte.

Col. I.

(1. H.) [. . . . . . στρ(ατηγῷ)] Ἀρσι(νοΐτων) Θεμίστ(ου)
[καὶ Πολέμωνο]ς μερίδ(ων)
[παρὰ . . . .]ος Σαρᾶ τοῦ
[. . . . . . . ἀπὸ κ]ώμης Κερ-
5 [κε . . (. . .) τῆς Πολέ]μωνος μερίδο(ς).
[. . . . .] εἰς τὴν ἐχθὲς
[. . . . . . τοῦ πα]ρόντο(ς) μηνὸς
[. . . . .] κα[ταβ]εβλή-
[κασι . . . .]ως ἐκ τοῦ
10 [. . . . .]ραν καὶ
[. . . . .] πεπλε-
[. . . . . Ὅθεν ἐπι]δίδωμι καὶ

Darauf Reste von 4 Zeilen.

Unten abgebrochen.

Die Breite des links Fehlenden ergiebt sich aus Z. 2. – 6 etwa zu ergänzen: [Νυκτὶ τῇ φερούσῃ] εἰς τὴν ἐχθὲς [ἥτις ἦν ἡ x τοῦ πα]ρόντο(ς) μηνὸς y, oder ähnlich.

verte



Col. II.

(2. H.) [. . . . . παρὰ ?] Συρ[.]. .
[. . . . .] μετὰ κυρίου
(3. H.) τ[οῦ] ἀν[δρὸς . . . .]ος Δείου.
(2. H.) Τοῦ προγεγραμμένου μου πατρὸς Θέ-
5 ωνος ὑπογύως τετελευτηκότος
ἐγενόμην ἐν οἰκίᾳ μου οὔσῃ ἐν κώμῃ
Ὀξυρύγχων, ἔνθα ἐστὶν καμάρα, ἐν ᾗ ἀπέ-
κειτο ξύλα ἐρίκινα πάμπολλα καὶ ἁλὸς
πλεῖστον καὶ ἕτερα εὗρον βασταχθέν-
10 τα ἐξ αὐτῶν, ξύλα μὲν ἄξια ϛγ́ καὶ
ἁλὸς ἀρτάβας εἴκοσι καὶ θύραν ξυλ[ί]-
νην. Ὅθεν ἐπιδίδωμι καὶ [ἀξιῶ] ἐν
καταχωρισμῷ [γενέσθαι τάδε τὰ]
βιβλείδια εἰς τὸ φ[ανέντος τοῦ . . . . . .]
15 μένειν μοι τὸ[ν λόγον (3 H.) . . . .]
μετὰ κυρίου τοῦ [ἀνδρὸς . . . . ἐπιδέ]-
δωκα καθὼς [πρόκειται. *Nom. pr.*]
ἔγραψα ὑπὲ[ρ αὐτῆς γράμματα μὴ εἰδυίης].
(2. H.) L κ̄ Λ[ουκίου Αὐρηλίου Κομμόδου Ἀντωνίνου]
20 τοῦ κυ[ρίου *Datum*] 180 n. Chr.

---

1 auch diese Klagschrift war an einen Strategen gerichtet. — 10 l. δραχμῶν τρισχιλίων. — 19 da Commodus (hier noch Lucius) allein genannt wird, so ist die Urkunde nach dem Bekanntwerden des Todes des Marcus (17. März) und vor dem 30. August 180 (Schaltjahr) geschrieben.

WILCKEN.



P. 1416. No 732.

Papyrus. H. 8 cm. Br. 16 cm. Faijûm. — Auf Recto dicke Uncialschrift, auf Verso eckige Cursive. — II. Jahrh. n. Chr.

Recto.


Μέτρου φοινικηγοῦ Βουβάστου Τρ[ι]κωμί[ας Ἀλεξάνδ(ρου)?]
Νήσου συνήθως ἐπὶ τῆς Θεμίστου ἐξεν[. . . . .]
ε̣ισσομένου αἱ κατ' ἔτος ἀναλαμβανόμεναι ἐ[κ τῆς αὐ]-
τῆς με̣[ρίδος . . . . .] . [. . .] καὶ πρὸς τὸ 5 L κατὰ τ[. . . . . .]
5 [. . . . .] . ω ἀπὸ λόγων τῆς [. . . . .]
[. . . . .] . [. . . . .]

Hier bricht der Papyrus ab.

Verso.

(2. H.) [. . . . . .] . ε̣[. . .
Ἡρακλεί[δου . . .
πρᾶσις τελῶν . [. . .
καὶ ἄλλων εἰδῶν . [. . .
5 Ἀντωνείνου Καίσ[αρος τοῦ κυρίου . . .

WILCKEN.



P. 1508. No 733.

Papyrus. H. 15,5 cm. Br. 8,5 cm. Faijûm. – Grosse sorgfältige Cursive.

Oben abgebrochen.

[. .] . ∟ κ(αὶ)(?) . ρ̣ . . ομεικω δ̣ι̣α̣ . . [. . .
[. .] ἐν τῇ Ἀντινόου πόλει τὰ μὲν [. . .
. . [. .] ε̣ιλόμενα τῷ κα ∟ διὰ Πρ[. . . — 157/8 oder 180/181
γενο(μένου) γρ(αμματέως) ἐν διπλώμασι ἐλογίσθη[. . .
5 αὐτῶν πρὸς γνώμονα τὰ γενή[ματα . . .
[ἄ]χρ[ι] τῆς τοῦ λαμπροτάτου ἡγεμό[νος . . .
[. . . . .] περὶ αὐτῶν ἐπ[. . .
[. . . . .] νομάρχη [. . .
[. . . . .] δος. Τῷ[. . .
10 [. . . . .] Μυσθαρίωνος το[ῦ . . .
[. . . . .] τοῦ υἱοῦ Διογένου̣[ς . . .
[. . . . .] ηλω συνεσχο[. . .
[. . . . .] . φιδουσα τα[. . .
[Οὐαλερίου] Εὐδαίμονος ν[. . .
15 [. . . . . . .] ὀνόματα ∫[. . .

Reste von 3 Zeilen.
Darauf bricht der Papyrus ab.

---

1 der Bruch geht z. T. mitten durch die Buchstaben. – 3 wegen λαμπροτάτου (Z. 6) ist das 21te Jahr nicht auf Hadrian zu beziehen, denn damals heisst der Praefect noch κράτιστος. – 13 ἐφιδοῦσα?

WILCKEN.



P. 2476. No 737.

Papyrus. H. 32,5 cm. Br. 17 cm. Faijûm. Aus 2 Fragmenten zusammengefügt. 1 Klebung. – Ligaturenreiche Cursive. – III Jahrh. n. Chr.

Col. I.

Nur die Zeilenschlüsse sind erhalten. Auf ihre Wiedergabe kann hier verzichtet werden. Rechts an Col. I ist angeklebt

Col. II.

1 ΙΕ
2 Φομενσούχου Ὥρου τοῦ Ὥρου γενο(μένου) σιτολ(όγου) οἰκί(α) π[αλ(αιὰ)] 𐅵 μ(έρος) . . . .
3 ψει(λὸς) τόπ(ος), βορ(ρᾶ) ῥύ(μη) δη(μοσία), ἀπη(λιώτου) Ἀτρείους οἰκί(α), λιβὸς Ἀιρεί-
ους οἰκί(α) [ι 𐅵 ἕως ιγ 𐅵 τίθ(εται)]
4 ς μβ̲ ας τῷ π(ροκειμένῳ)
5 (2. H.) Ἐπ(εκρίθη?) τῷ π(ροκειμένῳ).
6 Ἀνδρο[νείκου Ἀκουσιλ]άου μεταδοθ(έντος) ὑπὸ διακρίτων . . [. . . . . . .
7 καὶ Λεσωνίας κορκοδιβ' (λ(ιτ)ῶν) μ(έρος) 𐅵 μ(έρος) οἰκί(ας) καὶ αὐ(λῆς), γί(τονες) νότ(ου)
ψε[ιλ(ὸς)] τόπ(ος) . . . .
8 ιϛ'' μ(έρος) οἰκί(ας) καὶ αὐ(λῆς) καὶ ε'' μ(έρος) μητ(ρικά), τῆς ἄλλης οἰκί(ας)
γί(τονες) τῶν ὅ[λων νότ(ου)]
9 Σαδάλου οἰκί(α), ἀπη(λιώτου) καὶ βορ(ρᾶ) ῥύ(μη) δη(μοσία), λιβὸς Ἡρακλείδου
[τοῦ ἀδελφοῦ]
10 οἰκί(α) ι 𐅵 ἕως ιγ 𐅵 τίθ(εται) ς οδ ας τῷ π(ροκειμένῳ).
11 (2. H.) Ἐπ(εκρίθη?) τῷ π(ροκειμένῳ).
12 Δειδᾶς Δειδᾶ γενηματογρ(αφουμένη) οἰκί(α) καὶ αὐ(λή), γί(τονες) τῶν ὅλων. [. . .
13 τῶν αὐτῶν ῥύ(μη) δη(μοσία), βορ(ρᾶ) ῥύ(μη) δημ(οσία), ἀπη(λιώτου) ῥύ(μη)
δη(μοσία) Ἀνδρονείκ[ου]
14 Ἀκουσιλάου ι 𐅵 ἕως ιγ 𐅵 τίθ(εται) ς μϛ ας τῷ π(ροκειμένῳ).
15 (2. H.) Ἐπ(εκρίθη?) τῷ π(ροκειμένῳ).
16 Παποντῶς Πτολεμαίου τοῦ Ἰσιδώρου γενό(μενος) σιτολ(όγος) δ' μ(έρος) οἰκ[ί(ας)
καὶ]

verte



(P. 2470.) (No 734.)[2]

17 αὐ(λῆς) καὶ Θεμουθᾶδ(ος) γενό(μενος) σιτολ(όγος) οἰκί(α) καὶ αὐ(λή), γί(τονες) Παπον[τῶτος ...

18 οἰκί(α) βορ(ρᾶ) ῥύ(μη) δη(μοσία), ἀπη(λιώτου) Ἰσᾶτος Κεφαλᾶ οἰκί(α) ι ∫ ἕως ιγ ∫ τίθ(εται) ς λ. [α ς τῷ π(ροκειμένῳ)]

19 (2. H.) Ἐπ(εκρίθη?) τῷ π(ροκειμένῳ)

20 Πετεσούχου Ἀμμωνίου τοῦ Ἀσκληπιάδου γενο(μένου) σιτολ(όγου) ..... [.....

21 οἰκί(α), γί(τονες) .. ... [...] ῥ[ύ](μη) δη(μοσία), ἀπη(λιώτου) Ἁρποκρατίωνος οἰκί(α) ι ∫ ἕως [ιγ ∫ τίθ(εται)]

22 ς μδ α ς τῷ π(ροκειμένῳ).

23 (2. H.) Ἐπ(εκρίθη?) τῷ π(ροκειμένῳ).

24 Θεωνᾶς Ἁρβαίθου γενό(μενος) σιτολ(όγος) οἰκί(α) καὶ αὐ(λή) [....

25 [....] Πετσωούκιος οἰκί(α), λιβὸς ῥύ(μη) δη(μοσία) [....

26 [ς.]α α ς τῷ π(ροκειμένῳ).

27 (2. H.) Ἐπ(εκρίθη?) τῷ π(ροκειμένῳ).

28 Φομενσούχου Ὥρου τ[οῦ] Ὥρου γενο(μένου) σιτολ(όγου) οἰκί(α) παλ(αιὰ) ∫' [μέρος)....

29 ψει(λὸς) τόπ(ος), βορ(ρᾶ) ῥύ(μη) δη(μοσία), ἀπη(λιώτου) Ἁτρείους οἰκί(α), λιβὸς Ἁτρείους οἰκ[ί(α), ι ∫ ἕως ιγ ∫]

30 τίθ(εται) ς μβ α ς τῷ π(ροκειμένῳ).

31 (2. H.) Ἐπ(εκρίθη?) τῷ π(ροκειμένῳ).

32 Ἀνδρονείκου Ἀκουσιλάου μεταδοθ(έντος) ὑπὸ διακρίτων [....

33 καὶ λεοντίνης κορκοδιβ̅ β' μέρος ∫' μ(έρος) οἰκί(ας) καὶ α[ὐ(λῆς)], γ... ...

34 ἀνθ' (ὧν?) ιε'' μ(έρος) οἰκί(ας) καὶ αὐ(λῆς) καὶ ε' μ(έρος) μητρικά, τῆς [ἄλλης οἰκί(ας)]

35 γί(τονες) τῶν ὅλων νότ(ου) Σαδάλου οἰκί(α), βορ(ρᾶ) ῥύ(μη) δη(μοσία), λιβὸς [Ἡρακλείδου τοῦ]

36 ἀδελφοῦ οἰκί(α), ι ∫ ἕως ιγ ∫ τί[θ(εται) ς οδ] α ς τῷ π(ροκειμένῳ).

37 (2. H.) Ἐπ(εκρίθη?) τῷ π(ροκειμένῳ).

38 Πτολεμαίου Ἰσᾶ ἐπικαλουμένου Ἀρχελάου γενο(μένου) [....

39 Πτολεμαίου Ἰσιδώρου τοῦ Ἱέρακος ἀπὸ Ἰσίου δρόμου . [...

40 γεγρ(αμμέν..) σὺν τῶν ἀδελφῶν (sic) Ἱερακίο(υ) Ἀπολλωνίο(υ). [...

41 γί(τονες) ἐκ γ̅ ἀνέ(μων) ῥύ(μαι) δη(μόσιαι), λιβὸς Πεταρμούθεως οἰκί(α) [ι] ∫ ἕω[ς ιγ ∫ τίθ(εται) ς.. α ς τῷ π(ροκειμένῳ)].

verte.



42 (2. H.) ᾿Επ(ει)ρ(ί)θη(?) τῷ π(ροκειμένῳ).

---

2 ergänzt nach Z. 28. — 4 ας und ebenso Z. 10, 14 etc. = πρώτως. Vgl. die ähnliche Urkunde Nr. 509. — 5 ( )τω) Pap. Ergänzt nach der ähnlichen Urkunde Mitt. Pap. E R VI S. 93. — 6 oder διακριτῶν? — 7 zur λεσωνία vgl. Wilcken, Gr. Ostraka I S. 382 § 185. — 7 l. κροκοδίλ(ων) β ?. Nach Z. 33 fehlt darauf ein β^ϑ (= 2/3) vor μέρος. Der Schluß zu ergänzen nach Z. 34. — 12 γενηματογράφος? oder γενηματογραφηθεῖσα? oder γενηματογραφηθείς? — Der Text von Z. 28–37 ist identisch mit Z. 2–11. Wohl irrtümliche Wiederholung. — 41 $\bar{\gamma}$ = τριῶν.

WILCKEN.

P. 2475. No 735.

Papyrus. H. 14 cm. Br. 29 cm. Faijûm. — 1 Klebung. — Cursive.

Col. I.

Oben abgebrochen.

] . μετατιθ Νινα[..] Ἰσιδώρου καὶ κελ-
γ]ί(τονες) νότ(ου) καὶ λιβὸς ἐκ τοῦ πρὸς νότ(ον) μέρους
] . οἰκ(ία) η ∫ [ ] [τ]ῶ(ν) ἀπελ(...) ς ιβ ιβ ∫ τῶ(ν) ἀπελ(...) ιγ ∫ τῶ(ν) ἀπελ( )
(2. H.)]ω)
5] Νινεω Ἰσιδώρου καὶ Αἰμιλλίας Δημη-
]αμ . . . . . . αγο οἰκ(ία) ἀπηλ(ιώτου) καὶ λιβὸς ῥύ(μη)
] . ιβ ∫ τῶν ἀπελ(...) ιγ ∫ τῶν ἀνελ(...)
(2. H.)]ω)
]ας Δημητρίας οἰκ(ία) νυνεὶ καταπ(επτωκυῖα) καὶ ψιλ(ὸς)
10] . γυ λιβὸς Σουλπικίας οἰκ(ία) καὶ ψιλ(ὸς) τόπ(ος) η ∫
] ιγ ∫ τ[ῶ]ν ἀπελ(...)
(2. H.)]τω)
]οὕτως οἰκοπ(εδ..) γενηματογρ(αφηθ...) εἰς τ.

verte



(P. 2475.) (No 735.)[2]

Col. II.

∟α Αὐτοκράτορος Καίσαρος Γαίου Ἰουλίου Οὐήρου Μαξιμείνου
Εὐσεβοῦς Εὐτυχοῦς Σεβαστοῦ 235 n. Chr.

---

1 μετατίθ(εται)? – 1 Spuren passen nicht zu Νινε. Vgl. 5. – 1 Schluss erg. κέλ[λιον. – 3 zweifelhaft, ob απε^λ oder ανε^λ. – 4 nach No 734 wohl zu ergänzen: Ἐπ(ισκρίθη) τ]ῷ π(ροκειμένῳ). Ebenso in 8 und 12. – 5 wohl Δημη[τρίας]. Vgl. 9. – 6 ἀγο(ρανόμου)? – 7 scheint ανε^λ oder ανα^λ, nicht απε^λ zu stehen. – 9 Αἰμιλλί]ας? Schluss erg. [τόπος. – 10 γυ(μνασιάρχου)?


WILCKEN.

P. 2553. No 736.

Papyrus. H. 15 cm. Br. 14 cm. 1 Klebung. – Faijûm. Grosse Cursive.

☧ Μετὰ τὴ[ν ὑπα]τίαν Φλ(αουίου) Βασιλ[ίου το]ῦ [λ]α[μπροτάτου]
Ἀθὺρ ζ η ἰ[νδ(ικτίωνος) ἐπ'] Ἀρσ(ινόης). 3. Nov. 544 oder 559
Αὐρήλιοι Ἀπόλλων υἱὸς Ἀ.ẹ..[..... καὶ Μωύσης]
υἱὸς Γεροντίου ἀπὸ κώμης Δι[........
5 Αὐρηλίῳ Ἀπ[ο]ḷḷọ υἱῷ Ἰουλίου.. /////ρ.. ἀ[πὸ] τῆς
Ἀρσινοιτῶν πόλεως χ(αίρειν). Ὁμολογοῦμεν ἐξ ἀλ[ληλεγγύης]
ἐσχηκέναι ἡμᾶς παρὰ σοῦ διὰ χειρὸς εἰς ἰδία[ν ἡμῶν]
χρείαν ἐγὼ [μ]ὲν ὁ Ἀπολλῶς νομισματίου δί[μοιρον]
κἀγὼ Μωύσης νο[μισ]ματίου τρίτον, νομ[ισμάτιον]
10 ἓν πχρὰ κεράτια ἑπ[τὰ χρ^υ] ν̣^ο α π/ κερ/ ζ^{//} κε[φαλαίου]
ζυγῷ Ἀρσινοίτου [.....]ου ἀπο.[......]
ποιησόμεθα τῆς [......]ουτατω [......]
της παρὰ τῆς ο.[................]
πρὸς δὲ ἀσφάλεια[ν ....]

verte



(P. 2553.) (No 736.)[2]

15 [. .] ε ν γ . [. .] . ει . ε . π [. . . . .]

Hier bricht der Papyrus ab.

---

3 der Ἀπόλλων heißt in Z. 8 Ἀπολλῶς. – 9 Schluß von unsicher.

WILCKEN.

P. 2552. No 737.

Papyrus. H. 8,5 cm. Br. 9 cm. – Faijûm. – Klare Cursive. – Aus arabischer Zeit.

† Ἐν ὀνόματι τοῦ κυρίου καὶ [δεσπ(ότου) Ἰησοῦ Χριστοῦ τοῦ θεο(ῦ) καὶ σωτ(ῆρος]
ἡμῶν καὶ τῆς δεσποίνης ἡμ[ῶν τῆς ἁγίας θεοτόκου καὶ πάντων]
τῶν ἁγίων Ἀθὺρ ἑβδόμη ἑβδ[όμης ἰνδικτίωνος ἐπ' Ἀρσινόης]
Φλ(αουίῳ) Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ [. . .
5 τῆς Ἀρσινοιτῶν πόλε(ως) Α[ὐ]ρ(ήλιοι). [. . .
Ἑνὼχ καὶ Ἀγε. . ος υἱὸς Φοιβαμ[μῶνος . . .

Hier bricht der Papyrus ab.

Verso.

